UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

5. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

δινεύοι κατὰ μέϲϲον, ἄγοι δέ ἑ Παλλὰϲ Ἀθήνη
χειρὸϲ ἑλοῦϲα, ἀτὰρ βελέων ἀπερύκοι ἐρωήν·
πολλοὶ γὰρ Τρώων καὶ Ἀχαιῶν ἤματι κείνῳ
πρηνέεϲ ἐν κονίῃϲι παρ’ ἀλλήλοιϲι τέταντο.

---

# ΙΛΙΑΔΟϹ Ε.

Ἔνθ’ αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰϲ Ἀθήνη
δῶκε μένοϲ καὶ θάρϲοϲ, ἵν’ ἔκδηλοϲ μετὰ πᾶϲιν
Ἀργείοιϲι γένοιτο ἰδὲ κλέοϲ ἐϲθλὸν ἄροιτο.
δαῖέ οἱ ἐκ κόρυθόϲ τε καὶ ἀϲπίδοϲ ἀκάματον πῦρ,
ἀϲτέρ’ ὀπωρινῷ ἐναλίγκιον, ὅϲ τε μάλιϲτα
λαμπρὸν παμφαίνῃϲι λελουμένοϲ Ὠκεανοῖο·
τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατόϲ τε καὶ ὤμων,

---

V. L. 541 δινεύει GH. μέϲον DE. ἄγει G. ἄγει[οι] N. ἄγη[οι] O. δὲ ἓ G. — 542 ἑλοῦϲα ἀτὰρ E. ἑλοῦϲ[α]’ ἀτὰρ G. ἑλοῦϲ’ ἀτὰρ H. ἑλοῦϲ[α,]’ ἀ[υ]τὰρ A. ἑλοῦϲα αὐτὰρ O. ceteri ἑλοῦϲ’ αὐτὰρ. ἀπερύκει D. — 543 τρῴων GL. ἤματι D.

---

A. c. 542 ἑλοῦϲα ἀτὰρ, conf. Ahrens. de hiat. Hom. legitimis quibusdam generibus pg. 11. hanc scripturam confirmant ἐφοπλιϲόμεϲθα ἀτάρ Θ 503; ποτάμοιο ἀτάρ Λ 732; ἀνέπαλτο ἀτάρ Ψ 694; ἰχθυόεντα ἀτάρ ι 83; μεγάροιο ἀτάρ φ 229. conf. porro κανέοιϲιν ἀτάρ Ι 217, Ω 626; ἡμιόνοιϲιν ἀτάρ Η 333; προμάχοιϲιν ἀτάρ Λ 744; ἔπεφνεν ἀτάρ Κ 488; ἐϲτὶν ἀτάρ ρ 307 et Ε 483, 833, Ι 56, Λ 614, Ξ 105, Υ 181, Ψ 265, β 240, ν 243. Ε 287 οὐδ’ ἔτυχε̄ϲ ἀτάρ. Ε 485 ἕϲτηκᾱϲ ἀτάρ. Ψ 104 εἴδωλο̄ν ἀτάρ.

---

V. L. 2 μετα A. πᾶϲϊ M. — 3 γένοιτο ἠδὲ G. — 4 ΔΑΙΕΔΕΟΙ Ambrosianus: ceteri δαῖέ οἱ cum Bekk. Anecd. 1208. Bachm. Anecd. II, 140, 19. Drac. de Metr. 34, 8. Macrob. Sat. V, 13, 34. Suid. Lex. I, 1, 151, 25. Rhet. Gr. III, 234, 6. τινὲϲ γράφουϲι „δαῖε δέ οἱ ἐκ κόρυθοϲ“ Eust. 514, 8, qui frustra quaerit, cur hoc loco ν̄ paragogicum sit omissum. — 5 ΑϹΤΕΡΙ Ambros. ἀϲτέρι G Eust. 12, 29. Draco de Metr. 41, 12. Hesych. I, 304. ἀϲτέρ[ι]’ A. γράφεται καὶ ἄλλωϲ ἐντελῶϲ „ἀϲτέρι ὀπωρινῷ“ Eust. 514, 18. — 6 παμφαίνηϲι MN Lips. cum aliis sine ῑ subscripto, quod multis locis est omissum.

---

A. c. 4 δαῖέ οἱ χωρὶϲ τοῦ ν̄ ἐν πολλοῖϲ ἀντιγράφοιϲ φερόμενον Eust. 514, 4. conf. κέ οἱ Ζ 281, Ι 157, Ψ 540 (κέν CDGHL)‘ γ 258 (κέν GINV), ι 458; sed Φ 567 omnes κέν οἱ habent. κέ ἑ Ι 155. — 6 παμφαίνῃϲι, conf. H. U. 197 et Bäumlein. in Commentat. de Homero editioni Iliadis praefixa pg. XL.

ὦρϲε δέ μιν κατὰ μέϲϲον, ὅθι πλεῖϲτοι κλονέοντο.
ἦν δέ τιϲ ἐν Τρώεϲϲι Δάρηϲ ἀφνειὸϲ ἀμύμων,
ἱρεὺϲ Ἡφαίϲτοιο· δύω δέ οἱ υἱέεϲ ἤϲτην,
Φηγεὺϲ Ἰδαῖόϲ τε, μάχηϲ εὖ εἰδότε πάϲηϲ.
τώ οἱ ἀποκρινθέντε ἐναντίω ὁρμηθήτην·
τὼ μὲν ἀφ᾿ ἵπποιιν, ὁ δ᾿ ἀπὸ χθονὸϲ ὤρνυτο πεζόϲ.
οἱ δ᾿ ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ᾿ ἀλλήλοιϲιν ἰόντεϲ,
Φηγεύϲ ῥα πρότεροϲ προΐει δολιχόϲκιον ἔγχοϲ·
Τυδείδεω δ᾿ ὑπὲρ ὦμον ἀριϲτερὸν ἤλυθ᾿ ἀκωκὴ
ἔγχεοϲ, οὐδ᾿ ἔβαλ᾿ αὐτόν· ὁ δ᾿ ὕϲτεροϲ ὤρνυτο χαλκῷ
Τυδείδηϲ· τοῦ δ᾿ οὐχ ἅλιον βέλοϲ ἔκφυγε χειρόϲ,
ἀλλ᾿ ἔβαλε ϲτῆθοϲ μεταμάζιον, ὦϲε δ᾿ ἀφ᾿ ἵππων.
Ἰδαῖοϲ δ᾿ ἀπόρουϲε λιπὼν περικαλλέα δίφρον,
οὐδ᾿ ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο·
οὐδὲ γὰρ οὐδέ κεν αὐτὸϲ ὑπέκφυγε κῆρα μέλαιναν,
ἀλλ᾿ Ἥφαιϲτοϲ ἔρυτο, ϲάωϲε δὲ νυκτὶ καλύψαϲ,
ὡϲ δή οἱ μὴ πάγχυ γέρων ἀκαχήμενοϲ εἴη.
ἵππουϲ δ᾿ ἐξελάϲαϲ μεγαθύμου Τυδέοϲ υἱὸϲ
δῶκεν ἑταίροιϲιν κατάγειν κοίλαϲ ἐπὶ νῆαϲ.

---

V. L. 8 κατα A. μέϲον G 1. man. M. καὶ ἄριϲτοι H, deletum man. recentiore, quae suprascripsit κλονέοντο. — 9 τρῴεϲϲι GL. — 10 ἱερεὺϲ GHMO. ἰρεὺϲ E. υἱέε L post ras. Pseudoplut. 120, 43. ἤϲτην: ἤτην D post ras. L. ἦϲαν C. ἤϲθην N. — 11 ΙΔΟΤΕ Ambros. — 12 ἀποκρινθέντε AE 515, 18 H: ἀποκριθέντε CDGLMNS Lips. Vrat. a. ΤΩΙΟΙ ΑΠΟΚΡΙΘΕΝΤΕ Ambros. ἀποκριθέντεϲ O. ἀποκρινθέντεϲ Harl. sup. ἐναντίω A Ambr. CDL: ἐναντίον GHMNOS Mor. Cant. Harl. Lips. a man. sec. Vrat. A. ὁρμηθήτην A Ambr. DLNO: ὡρμηθήτην CGHMS Eton. Vrat. b. c. Mosc. 1 οἵ, φηϲιν, ἀποκρινθέντεϲ ἐναντίοι, τῷ Διομήδει ὡρμήθηϲαν Eust. 515, 16 suo more, unde nequaquam colligendum est, exstitisse in aliquo codice scripturam οἵ οἱ ἀποκρινθέντεϲ ἐναντίοι ὡρμήθηϲαν. — 13 omittit C in textu. ΤΩΙ Ambros. ὃ δ᾿ L. ὅδ᾿ C 2. man. GHMNO. ἄπο A. — 14 οἳ δ᾿ L. οἵδ᾿ CDGHMNO. ἐπαλλήλοιϲιν A. — 15 ῥὰ DGMN. προΐει δολιχόϲκιον A. — 16 τυδείδου G. — 17 ὃ δ᾿ L. ὅδ᾿ CDMNO. — 19 μετὰ μάζϊον HM. — 20 ἀπόρουϲε: ἐπόρουϲε N. — 21 περιβῆναι: περιμεῖναι L errore librarii. — 24 ὣϲ A. εἴηι A. — 26 ἑταίροιϲϊ CGNO. ἑτάροιϲϊ HM.

---

A. c. 9 Δάρηϲ, non Δαρήϲ, Herodianus, conf. Eust. 515, 2. — 10 ἱρεύϲ: ψιλοῦται Schol. B. το δὲ ἱρεὺϲ ψιλοῦται, ὡϲ ἐν τοῖϲ Ἀπίωνοϲ κεῖται καὶ Ἡροδώρου Eust. 515, 35. — 12 ὁρμηθήτην, conf. Κ 359 ὁρμήθηϲαν (ita AH et Schol. A τὸ ὁρμήθηϲαν ἰακῶϲ). Ρ 530 ὁρμηθήτην (ita A). κ 214 ὁρμήθηϲαν (ita Q). sed Ν 496, 526, Ψ 817 in omnibus libris legitur ὡρμήθηϲαν.

Τρῶεϲ δὲ μεγάθυμοι ἐπεὶ ἴδον υἷε Δάρητοϲ
τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον παρ᾽ ὄχεϲφι,
πᾶϲιν ὀρίνθη θυμόϲ· ἀτὰρ γλαυκῶπιϲ Ἀθήνη
χειρὸϲ ἑλοῦϲ᾽ ἐπέεϲϲι προϲηύδα θοῦρον Ἄρηα·
Ἆρεϲ Ἄρεϲ βροτολοιγέ, μιαιφόνε, τειχεϲιπλῆτα,
οὐκ ἂν δὴ Τρῶαϲ μὲν ἐάϲαιμεν καὶ Ἀχαιοὺϲ
μάρναϲθ᾽, ὁπποτέροιϲι πατὴρ Ζεὺϲ κῦδοϲ ὀρέξῃ;
νῶι δὲ χαζώμεϲθα, Διὸϲ δ᾽ ἀλεώμεθα μῆνιν.
ὣϲ εἰποῦϲα μάχηϲ ἐξήγαγε θοῦρον Ἄρηα.
τὸν μὲν ἔπειτα καθεῖϲεν ἐπ᾽ ἠιόεντι Ϲκαμάνδρῳ,
Τρῶαϲ δ᾽ ἔκλιναν Δαναοί· ἕλε δ᾽ ἄνδρα ἕκαϲτοϲ
ἡγεμόνων. πρῶτοϲ δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἀρχὸν Ἁλιζώνων, Ὀδίον μέγαν, ἔκβαλε δίφρου·
πρώτῳ γὰρ ϲτρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεϲϲηγύϲ, διὰ δὲ ϲτήθεϲφιν ἔλαϲϲεν.
[δούπηϲεν δὲ πεϲών, ἀράβηϲε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.]
Ἰδομενεὺϲ δ᾽ ἄρα Φαῖϲτον ἐνήρατο, Μῄονοϲ υἱὸν
Βώρου, ὃϲ ἐκ Τάρνηϲ ἐριβώλακοϲ εἰληλούθει.
τὸν μὲν ἄρ᾽ Ἰδομενεὺϲ δουρὶ κλυτὸϲ ἔγχεϊ μακρῷ
νύξ᾽ ἵππων ἐπιβηϲόμενον κατὰ δεξιὸν ὦμον·

---

V. l. 27 τρῷεϲ GL. δὲ: δὴ G 2. man. εἶδον M. ἴδον O. — 28 τονδὲ D. ὄχεϲφι ACDGMN. — 29 ὀρύνθη M. αὐτὰρ M. — 30 ἑλοῦϲα ἔπεϲϲι G. προϲηῦδα D. θούριον H. — 31 ἄρεϲ bis D. ἆρεϲ bis M. τειχεϲιπλῆτα A. τειχεϲιπλήτα L. τειχεϲιπλήτα M. τείχεϲι πλῆκτα D. γρ. τειχεϲιβλῆτα O. — 32 οὐκ ἂν μὲν (β) δὴ (α) τρῶαϲ (γ) ἐάϲϲαιμεν L. τρῷαϲ G. — 33 ὁποτέροιϲι D. ὀρέξει CM Vrat. a. 1. man. c. Schol. H 171. Eust. 519, 8. ὀρέξοι (η) L. ὀρέξοι Eust. 519, 12. — 34 χαζώμεθα DG 1. man. — 35 ὡϲ A. — 36 τὸν μετέπειτα S. καμάνδρῳ C post ras. GL Mor. Barocc. Harl. — 37 τρῷαϲ GL. ἕλεν M. — 38 πρῶτοϲ: πρότεροϲ H. δ᾽ ἄναξ CGM. — 39 ἀλιζώνων DG 1. man. L. ὀδῖον N. — 40 πῆξε M. — 41 μεϲηγὺϲ DN. ἔλαϲϲε HMO. ἔλαϲε E. ἤλαϲεν N. hic versus in Lips. margini est adscriptus. — 42 omitt. AC Townl. Eton, qui habet in margine. δούπηϲε EMO. — 43 ἐνήρατο C. μαίονοϲ C. τέκτονοϲ H ex corr. pro Μῄονοϲ. — 44 ἐκ τ᾽ ἄρνηϲ G Mor. Cant. ἐξ ἄρνηϲ Vrat. a. — 45 ἄρ GHMN. ἀρ A. δουρὶ, κλυτὸϲ A. δουρὶ κλυτὸϲ (sic) O. ἔγχεϊ χαλκῷ L. — 46 κατα A.

---

A. c. 31 Ἄρεϲ: ἀρέϲ Ixio. τειχεϲιπλῆτα: τειχεϲιβλῆτα Zenodotus, conf. Et. Mg. 756, 18. — 39 Ἁλιζώνων, vide ad B 856. Ὀδίον Herodianus παροξυτόνωϲ. — 44 Τάρνηϲ, ita Strabo IX, 413. Stephan. Byz. 102, 19. Schol. ABD.

ἤριπε δ' ἐξ ὀχέων, ϲτυγερὸϲ δ' ἄρα μιν ϲκότοϲ εἷλε.
τὸν μὲν ἄρ' Ἰδομενῆοϲ ἐϲύλευον θεράποντεϲ·
υἱὸν δὲ Ϲτροφίοιο Ϲκαμάνδριον, αἵμονα θήρηϲ,
Ἀτρείδηϲ Μενέλαοϲ ἕλ' ἔγχεϊ ὀξυόεντι,
ἐϲθλὸν θηρητῆρα· δίδαξε γὰρ Ἄρτεμιϲ αὐτὴ
βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεϲιν ὕλη.
ἀλλ' οὔ οἱ τότε γε χραῖϲμ' Ἄρτεμιϲ ἰοχέαιρα,
οὐδὲ ἑκηβολίαι, ᾗϲιν τὸ πρίν γε κέκαϲτο·
ἀλλά μιν Ἀτρείδηϲ δουρὶ κλειτὸϲ Μενέλαοϲ
πρόϲθεν ἔθεν φεύγοντα μετάφρενον οὔταϲε δουρί.
[ὤμων μεϲϲηγύϲ, διὰ δὲ ϲτήθεϲφιν ἔλαϲϲεν]
ἤριπε δὲ πρηνήϲ, ἀράβηϲε δὲ τεύχε' ἐπ' αὐτῷ.
Μηριόνηϲ δὲ Φέρεκλον ἐνήρατο, Τέκτονοϲ υἱὸν
Ἁρμονίδεω, ὃϲ χερϲὶν ἐπίϲτατο δαίδαλα πάντα
τεύχειν· ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰϲ Ἀθήνη·
ὃϲ καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆαϲ εἴϲαϲ
ἀρχεκάκουϲ, αἳ πᾶϲι κακὸν Τρώεϲϲι γένοντο
οἵ τ' αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέϲφατα ᾔδη.
τὸν μὲν Μηριόνηϲ, ὅτε δὴ κατέμαρπτε διώκων,
βεβλήκει γλουτὸν κάτα δεξιόν· ἣ δὲ διὰ πρὸ

---

V. l. 47 ϲκότοϲ: μόροϲ MN Harl. εἷλε ACEGMN. — 48 ἂρ MN. ἀρ A. ἐϲύλεον ἐϲθλοὶ ἑταῖροι MNS (αἰϲθλοὶ) Cant. — 49 καμάνδριον C post ras. GLS Mor. Barocc. Vrat. a. Mosc. 1. αἴμονα H. — 50 ὀξιόεντι S. — 51 ἄρτεμιϲ ἐϲθλή L. — 53 γε omitt. GLN. γε, χραῖϲμ' A. — 54 οὐδ' DH. ἦϲι HN. αἶϲι G. τοπρίν HMNO. τοπρὶν G. *γε κέκαϲτο: vulgo γ' ἐκέκαϲτο. γ' omitt. GLM. — 55 δουρὶ, κλυτὸϲ A. δουρικλυτὸϲ CGHL MNO. δουρικλειτὸϲ D. — 56 πρόϲθε Apollon. de Pron. 55 A. — 57 omitt. A in textu CDN 1. man. Lips. Townl. 1. man. ϲτήθεϲϲιν O. ἔλαϲεν MN. — 58 δὲ πρηνὴϲ: δ' ἐξ ὀχέων MS Harl. γρ. πρηνήϲ S. γρ. δὲ πρηνὴϲ M. — 59 ἐνήρατο ACO. — 60 Ἁρμονίδου E. ἁρμονίδεω L. ἁρμονίδαο G. — 61 ἐφίλατο: φίλατο N. ἐφίληϲε S. γρ. ἐφίληϲε O. — 62 τεκτήνατο C. ἐῖϲϲαϲ O. — 63 τρώεϲϲι GL. — 64 οἵ τ' D: ceteri οἳ τ' cum Apoll. de Pron. 53 A; de Synt. 137, 26; 145, 22. ἐκ: ἓκ Apoll. de Pron. 53 A. ᾔδη L. ᾔδει CMN Harl. — 66 κάτα: libri κατὰ. ἢ δὲ C. διὰ πρὸ DEM Schol. O 127.

---

A. c. 53 χραῖϲμ' Ἄρτεμιϲ ἰοχέαιρα: χραῖϲμεν θανάτοιο πέλωρα Zenodotus. — 56 ἔθεν Herodianus: ἑθὲν Dion. Sidonius, conf. Schol. Γ 128, Є 80. Et. Mg. 124, 17. H. T. 236. — 59 τέκτονοϲ υἱὸν οἱ μὲν ἀκριβέϲτεροι ἐπίθετόν φαϲι Eust. 521, 39. — 60 πάντα: πολλά altera Aristarchi. — 64 ἀθετεῖται Aristonicus. οἵ τ', non οἳ τ' scribendum esse docui H. U. 141. οἳ Herodianus cum Apollonio. ᾔδη Aristarchus, non ᾔδει. — 66 ἣ δὲ Aristarchus, non ἠδὲ, conf. Herod. ad O 127.

ἀντικρὺ κατὰ κύϲτιν ὑπ᾽ ὀϲτέον ἤλυθ᾽ ἀκωκή.
γνὺξ δ᾽ ἔριπ᾽ οἰμώξαϲ, θάνατοϲ δέ μιν ἀμφεκάλυψε.
Πήδαιον δ᾽ ἄρ᾽ ἔπεφνε Μέγηϲ, Ἀντήνοροϲ υἱόν,
ὅϲ ῥα νόθοϲ μὲν ἔην, πύκα δ᾽ ἔτρεφε δῖα Θεανὼ
ἶϲα φίλοιϲι τέκεϲϲι, χαριζομένη πόϲεϊ ᾧ.
τὸν μὲν Φυλείδηϲ δουρὶ κλυτὸϲ ἐγγύθεν ἐλθὼν
βεβλήκει κεφαλῆϲ κατὰ ἰνίον ὀξέϊ δουρί·
ἀντικρὺ δ᾽ ἀν᾽ ὀδόνταϲ ὑπὸ γλῶϲϲαν τάμε χαλκόϲ.
ἤριπε δ᾽ ἐν κονίῃϲ, ψυχρὸν δ᾽ ἕλε χαλκὸν ὀδοῦϲιν.
Εὐρύπυλοϲ δ᾽ Εὐαιμονίδηϲ Ὑψήνορα δῖον,
υἱὸν ὑπερθύμου Δολοπίονοϲ, ὅϲ ῥα Ϲκαμάνδρου
ἀρητὴρ ἐτέτυκτο, θεὸϲ δ᾽ ὣϲ τίετο δήμῳ,
τὸν μὲν ἄρ᾽ Εὐρύπυλοϲ, Εὐαίμονοϲ ἀγλαὸϲ υἱόϲ,
πρόϲθεν ἕθεν φεύγοντα μεταδρομάδην ἔλαϲ᾽ ὦμον
φαϲγάνῳ ἀΐξαϲ, ἀπὸ δ᾽ ἔξεϲε χεῖρα βαρεῖαν.
αἱματόεϲϲα δὲ χεὶρ πεδίῳ πέϲε· τὸν δὲ κατ᾽ ὄϲϲε
ἔλλαβε πορφύρεοϲ θάνατοϲ καὶ μοῖρα κραταιή.
ὣϲ οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑϲμίνην·
Τυδείδην δ᾽ οὐκ ἂν γνοίηϲ ποτέροιϲι μετείη,
ἠὲ μετὰ Τρώεϲϲιν ὁμιλέοι ἦ μετ᾽ Ἀχαιοῖϲ.
θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ἐοικὼϲ
χειμάρρῳ, ὅϲ τ᾽ ὦκα ῥέων ἐκέδαϲϲε γεφύραϲ·
τὸν δ᾽ οὔτ᾽ ἄρ τε γέφυραι ἐερμέναι ἰϲχανόωϲιν,
οὔτ᾽ ἄρα ἕρκεα ἴϲχει ἀλωάων ἐριθηλέων,

V. L. 68 ἀμφεκάλυψε AEGHMNO. — 69 πήδαιον ACDEGHLMNOS Vrat. a. b. Mosc. 1. 3. Zonar Lex. 381. ἆρ ADGHLMN. γὰρ Zonar. 381. ἀντίνοροϲ G. — 70 ῥὰ DGLMO. μὲν omitt. G. ἔτραφε Townl. — 72 δουρὶ, κλυτὸϲ A: ceteri δουρικλυτὸϲ. — 73 ἠνίον N. χαλκῷ M et supra δουρὶ. — 74 ἂν A. ἀνοδόνταϲ DN. — 75 κονίῃ CEGMNOS: κονίῃϲ ADL. κονίῃϲι H ex corr. ἐν ἄλλῳ ἤριπε δ᾽ ἐξ ὀχέων A. ὀδοῦϲι M. — 77 ῥὰ DGLMN. καμάνδρου C post ras. GL Barocc. Mor. Vrat. b. — 78 ὡϲ A. ἐτίετο DLM. — 79 ἆρ LM. ἀρ A. — 81 ἀποδέξελε M. — 83 ἔλαβε G: ἔλλαχε Porphyrius ad Z 488. πορφύρεοϲ λάβε θάνατοϲ D. — 86 ὁμιλέει EG Barocc. Vrat. a. ἢ: libri ἤ. — 87 ἀμπεδίον ACDGHLMNO. — 88 χειμάρῳ L. ἐκέδαϲε DGM. ἐϲκέδαϲϲε HN. — 89 τε omitt. C. τι Et. Mg. 478, 42, quod postulat Naegelsbach. Anmerk. z. Ilias pg. 37. ἐερμέναι: libri ἐεργμέναι. — 90 ἄρ H. ἀλῳάων H: ceteri ἀλωάων. ἐριθηλάων GL.

A. c. 69 Aristarchus Πήδαιον: alii Πηδαῖον. — 76 Εὐαιμονίδηϲ et 79 Εὐαΐμονοϲ Ptolemaeus Ascalonita, conf. Eust. 524, 6. — 87 ἀμπεδίον, conf. Schol. ε 329. — 89 ἀρίϲταρχοϲ ἐερμέναι Didymus, conf. Schol. V.

ἐλθόντ᾽ ἐξαπίνης, ὅτ᾽ ἐπιβρίϲῃ Διὸϲ ὄμβροϲ·
πολλὰ δ᾽ ὑπ᾽ αὐτοῦ ἔργα κατήριπε κάλ᾽ αἰζηῶν.
ὣϲ ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγεϲ
Τρώων, οὐδ᾽ ἄρα μιν μίμνον πολέεϲ περ ἐόντεϲ.
τὸν δ᾽ ὡϲ οὖν ἐνόηϲε Λυκάονοϲ ἀγλαὸϲ υἱὸϲ
θύνοντ᾽ ἂμ πεδίον, πρὸ ἕθεν κλονέοντα φάλαγγαϲ,
αἶψ᾽ ἐπὶ Τυδείδῃ ἐτιταίνετο καμπύλα τόξα,
καὶ βάλ᾽ ἐπαΐϲϲοντα τυχὼν κατὰ δεξιὸν ὦμον,
θώρηκοϲ γύαλον, διὰ δ᾽ ἔπτατο πικρὸϲ ὀιϲτόϲ·
ἀντικρὺ δὲ διέϲχε, παλάϲϲετο δ᾽ αἵματι θώρηξ.
τῷ δ᾽ ἐπὶ μακρὸν ἄυϲε Λυκάονοϲ ἀγλαὸϲ υἱόϲ·
ὄρνυϲθε Τρῶεϲ μεγάθυμοι, κέντορεϲ ἵππων·
βέβληται γὰρ ἄριϲτοϲ Ἀχαιῶν, οὐδέ ἕ φημι
δήθ᾽ ἀνϲχήϲεϲθαι κρατερὸν βέλοϲ, εἰ ἐτεόν με
ὦρϲεν ἄναξ Διὸϲ υἱὸϲ ἀπορνύμενον Λυκίηθεν.
ὣϲ ἔφατ᾽ εὐχόμενοϲ· τὸν δ᾽ οὐ βέλοϲ ὠκὺ δάμαϲϲεν,
ἀλλ᾽ ἀναχωρήϲαϲ πρόϲθ᾽ ἵπποιιν καὶ ὄχεϲφιν
ἔϲτη, καὶ Ϲθένελον προϲέφη, Καπανήιον υἱόν·
ὄρϲο πέπον Καπανηιάδη, καταβήϲεο δίφρου,
ὄφρά μοι ἐξ ὤμοιο ἐρύϲϲῃϲ πικρὸν ὀιϲτόν.
ὣϲ ἄρ᾽ ἔφη, Ϲθένελοϲ δὲ καθ᾽ ἵππων ἆλτο χαμᾶζε,
πὰρ δὲ ϲτὰϲ βέλοϲ ὠκὺ διαμπερὲϲ ἐξέρυϲ᾽ ὤμου·
αἷμα δ᾽ ἀνηκόντιζε διὰ ϲτρεπτοῖο χιτῶνοϲ.
δὴ τότ᾽ ἔπειτ᾽ ἠρᾶτο βοὴν ἀγαθὸϲ Διομήδηϲ·

V. L. 91 ἐπιβρίϲει CDE ter LM Vrat. A. — 93 ὑπο A. πυκναὶ S. — 94 τρώων GL. — 96 ἀμπεδίον ACDGHLMNO Apoll. Lex. 63, 12. ἀνπεδίον Townl. ἂν πεδίον E. — 97 τυδείδεω Vrat. b. — 98 τυχὸν N. κατα A. — 99 δια CDGL. δέπτατο D. — 101 ἐπι D. — 102 τρῷεϲ GL. — 103 οὐδέ ἑ φημὶ ACDEGHLMNO. — 104 δηθὰ ϲχήϲεϲθαι E 528, 5 NOS Cant. δῆθ᾽ ἀναϲχήϲεϲθαι C (δήθ᾽) LM Lips. Mor. δηθὰ ἀναϲχέϲθαι G. γράφεται οὐδέ ἑ φημὶ δῆθ᾽ ἀνϲχήϲεϲθαι Eust. 528, 6. — 106 ὡϲ A. ὣϲ φάτ᾽ D. ὣϲ φάτ᾽ ἐπευχόμενοϲ E 528, 18 M Vrat. b. Harl. — 107 πρόϲθεν ἵπποιϲ G. — 108 καπανήϊοϲ G. — 109 ὄρϲε S Cant. Vrat. A. ὄρϲεο NO Vrat. a. c. Mosc. 3. καπανιάδη L. καταβήϲαιο GN. — 110 ὄφρά μοι CDLO. ἐρύϲῃϲ N. ἐρρύϲϲηϲ O. — 111 ὡϲ A. ἂρ DGM. ἅλτο C. χαμάζε CGLMN. — 112 παρ CDG. ὤμων N. — 113 ἀνηκόντιζε διὰ: ἀνηκόντιζεν ἀπὸ Eust. 680, 24. δια L.

---

A. c. 104 ἀρίϲταρχοϲ δῆθ᾽ ἀνϲχήϲεϲθαι Didymus, conf. H. T. 394. ἀρίϲταρχοϲ βέλοϲ Didymus. de alia scriptura nihil est traditum.

κλῦθί μευ αἰγιόχοιο Διὸϲ τέκοϲ, ἀτρυτώνη,
εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουϲα παρέϲτηϲ
δηίῳ ἐν πολέμῳ, νῦν αὖτ᾽ ἐμὲ φῖλαι Ἀθήνη·
δὸϲ δέ τέ μ᾽ ἄνδρα ἑλεῖν καὶ ἐϲ ὁρμὴν ἔγχεοϲ ἐλθεῖν,
ὅϲ μ᾽ ἔβαλε φθάμενοϲ καὶ ἐπεύχεται, οὐδέ μέ φηϲι
δηρὸν ἔτ᾽ ὄψεϲθαι λαμπρὸν φάοϲ ἠελίοιο.
ὣϲ ἔφατ᾽ εὐχόμενοϲ· τοῦ δ᾽ ἔκλυε Παλλὰϲ Ἀθήνη,
γυῖα δ᾽ ἔθηκεν ἐλαφρά, πόδαϲ καὶ χεῖραϲ ὕπερθεν·
ἀγχοῦ δ᾽ ἱϲταμένη ἔπεα πτερόεντα προϲηύδα·
θαρϲῶν νῦν Διόμηδεϲ ἐπὶ Τρώεϲϲι μάχεϲθαι·
ἐν γάρ τοι ϲτήθεϲϲι μένοϲ πατρώιον ἧκα
ἄτρομον, οἷον ἔχεϲκε ϲακέϲπαλοϲ ἱππότα Τυδεύϲ·
ἀχλὺν δ᾽ αὖ τοι ἀπ᾽ ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
ὄφρ᾽ εὖ γιγνώϲκηϲ ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.
τῷ νῦν, αἴ κε θεὸϲ πειρώμενοϲ ἐνθάδ᾽ ἵκηται,

---

V. L. 115 κλῦθί μοι ACDGHL. μευ NO Cant. Harl. μου M. — 117 αὖτ᾽ ἐμὲ ADGN: αὖτέ με CE bis HLMOS Cant. Lips. Vrat. b. A. Mosc. 1. Et. Mg. 793, 33. Zonar. Lex. 1812. Cram. An. Ox. II, 421, 27. φῖλαι AN: φίλαι E bis S Cant. Townl. Mosc. 1. Et. Mg. 793, 33. Zonar. Lex. 1812. φίλε D. φίλε᾽ CGHLMO Mosc. Vrat. b. c. A. Mosc. 3. γρ. φίλαι ἀθήνη O. νῦν αὖ με φίλαι Ἀθήνη, οὕτω γάρ τινεϲ γράφουϲι τῶν ἀκριβεϲτέρων Eust. 1269, 10. conf. Κ 280. — 118 δὸϲ δέ τε μ᾽ vel τέ μ᾽ libri mei. τὸν δέ τ᾽ ἄνδρα Schol. O 119. δὸϲ δέ τ᾽ ἔμ᾽ Apollon. de Synt. 243, 7; 244, 20. — 119 οὐδέ με φηϲὶ ACDGL (φηϲὶν) MNO. οὔ ἐμὲ φηϲὶ Townl. — 121 ὥϲ A. — 124 ἔπι A. τρώεϲϲι GL. — 125 ϲτήθεϲι O. — 126 ϲακεϲπάλοϲ D 1. man. ϲακκεϲπάλοϲ M. — 128 γιγνώϲκηϲ N 1. man. O 2. man. γινώϲκηϲ EMN 2. man. O 1. man. Lucianus XII, 7. Et. Mg. 722, 19. Plato Alcib. II, 150 D. γινώϲκηϲ$^{οι}$ H. γιγνώϲκοιϲ L. γινώϲκοιϲ ACDG Mosc. 3. Maxim. Tyr. Diss. XIV, 5. Zonar. Lex. 1661. conf. Schol. Ε 451. — 129 τῶ ACDGHLMNO.

---

A. c. 115 κλῦθϊ μοι (conf. H. S. 162) non solum hoc loco, sed etiam Κ 278, β 262, δ 762, Ζ 239, 324 in libris optimis scribitur, socordia librariorum, qui ceteris locis (Α 37, 451, Γ 97, 304, 456, Η 67, 348, 368, Θ 5, 497, Κ 284, Τ 101, β 25, 161, 229, ρ 370, 468, ϲ 43, υ 292, φ 68, 275, ω 443, 445) genitivum Homero usitatum non immutaverunt at poëtae Homero recentiores dativo utebantur, ut Theognis 4 ϲὺ δέ μοι κλῦθι. 13 εὐχομένῳ μοι κλῦθι. Solon 13, 2 κλῦτέ μοι εὐχομένῳ. — 117 φῖλαι scribendum est, non φίλαι vel φίλε᾽, est enim imperativus aoristi ab indicativo ἐφιλάμην, qui legitur Ε 61, ut πείρηϲαι Α 302, θ 145, φράϲαι Α 83, ἄλευαι Χ 285, κατάλεξαι τ 44. — 118 δὸϲ δέ τέ μ᾽: οὕτωϲ ἔν τιϲιν ἡρωδιανόϲ ἡ δὲ γραφὴ τὸν δέ τέ μ᾽ ἄνδρα Schol. A. — 122 ὁ ἀϲτερίϲκοϲ, ὅτι ἐντεῦθεν μετενήνεκται εἰϲ τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα Aristonicus, conf. Schol. Ν 61. — 128 optativum γιγνώϲκοιϲ agnoscit Schol. BL. ἠδὲ καὶ ἄνδρα: ἠδ᾽ ἄνθρωπον Zenodotus.

μή τι cύ γ᾽ ἀθανάτοιcι θεοῖc ἀντικρὺ μάχεcθαι
τοῖc ἄλλοιc· ἀτὰρ εἴ κε Διὸc θυγάτηρ Ἀφροδίτη
ἔλθῃc᾽ ἐc πόλεμον, τήν γ᾽ οὐτάμεν ὀξέι χαλκῷ.
ἡ μὲν ἄρ᾽ ὣc εἰποῦc᾽ ἀπέβη γλαυκῶπιc Ἀθήνη,
Τυδεΐδηc δ᾽ ἐξαῦτιc ἰὼν προμάχοιcιν ἐμίχθη·
καὶ πρίν περ θυμῷ μεμαὼc Τρώεccι μάχεcθαι,
δὴ τότε μιν τρὶc τόccον ἕλεν μένοc, ὥc τε λέοντα,
ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ᾽ εἰροπόκοιc ὀΐεccι
χραύcῃ μέν τ᾽ αὐλῆc ὑπεράλμενον οὐδὲ δαμάccῃ·
τοῦ μέν τε cθένοc ὦρcεν, ἔπειτα δέ τ᾽ οὐ προcαμύνει,
ἀλλὰ κατὰ cταθμοὺc δύεται, τὰ δ᾽ ἐρῆμα φοβεῖται·
αἱ μέν τ᾽ ἀγχιcτῖναι ἐπ᾽ ἀλλήλῃcι κέχυνται,
αὐτὰρ ὁ ἐμμεμαὼc βαθέηc ἐξάλλεται αὐλῆc·
ὣc μεμαὼc Τρώεccι μίγη κρατερὸc Διομήδηc.
ἔνθ᾽ ἕλεν Ἀcτύνοον καὶ Ὑπείρονα, ποιμένα λαῶν,
τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί,
τὸν δ᾽ ἕτερον ξίφεϊ μεγάλῳ κληῖδα παρ᾽ ὦμον
πλῆξ᾽, ἀπὸ δ᾽ αὐχένοc ὦμον ἐέργαθεν ἠδ᾽ ἀπὸ νώτου.
τοὺc μὲν ἔαc᾽, ὁ δ᾽ Ἄβαντα μετῴχετο καὶ Πολύιδον,

---

V. l. 130 μή τι cύ γ᾽: μὴ cύγε NS Cant. μὴ cύπερ M. — 131 αὐτὰρ M. εἴ κε: εἰ καὶ D. — 132 τήν γ᾽: τήνδ᾽ M. — 133 ἦ Athenaeus X, 458. ἆρ DGLMN. ἀρ A. ὡc A. — 134 ἐξ αὖτιc L. ἐξαῦθιc C. — 135 καίπερ πρὶν G. τρώεccι DL. — 136 ἕλε C 1. man. GN. εἶλεν M. ὥc τε D. — 137 ὃν ῥά DE. ὀῒεccι ACDEGMNO. — 138 χραύcει CEO Eust. 1063, 30; 1314, 9. Steph. Byz. 146, 9. ὑπεράλμενον A. ὑπὲρ ἅλμενον Cram. An. Par. III, 152, 27. δαμάccει CE Townl. δαμάcει Vrat. A. — 140 κατα AD 1. man. — 141 omitt. M. ἀγχιcτῖναι D: ἀγχηcτῖναι ACGHL Vrat. c. Schol. B 474, Θ 131. Apoll. Lex. 5, 19. ἀγχηcτίναι N. ἀγχιcτῆναι O Apoll. de Pron. 108 C. ἀγχηcτῆναι E 530, 46; 531, 42. γράφεται δὲ διὰ τοῦ η ἡ προπαραλήγουcα τοῦ ἀγχηcτῆναι Eust. 531, 46. ἀλλήλοιcι DH Vrat. c. Mosc. 1. 2. Schol. Φ 6. ἀλλήλαιcι G. — 142 ὃ ACDGHLMNO. βαθείηc CDG. ἐξάλεται L. — 143 ὡc A. τρώεccι L. — 144 Ὑπείρονα: ὑπήρονα L. ὑπήνορα MN. — 145 ὕπερ A. — 146 τὸν ἄλλον Vrat. b. et γρ. ἕτερον. κληῗδα DGMN. — 147 νώτων L. ex corr. — 148 ὃ δ᾽ D. ὅδ᾽ CGLNO. πολύϊδον ACDHLMN 2. man. O 1. man. πολύειδον

---

A. c. 132 τήν γ᾽ οὐτάμεν et τὴν οὐτάμεν Aristarchus, διχῶc: τήν γ᾽ οὐτάcαι Zenodotus. — 136 πτολεμαῖοc ὁ τοῦ ὀροάνδου ἐν τῷ περὶ τῆc ὁπλοποιίαc διὰ τοῦ χ προφέρεται ἔχεν μένοc Didymus. — 138 Ptolemaeus et Herodianus ὑπεράλμενον: ὕπερ ἅλμενον Dionysius. — 141 ἀγχιcτῖναι, conf. P 361, χ 118, ω 181, 449. — 142 Apollonius ἐξάλλεται: alii ἐξ ἅλλεται. — 146 τὸν δ᾽ ἕτερον: τοῦ δ᾽ ἑτέρου Zenodotus. — 148 Πολύιδον Apollonius Archibii, conf. Cram. An. Par. IV, 188, 25 et N 663.

υἱέας Εὐρυδάμαντος, ὀνειροπόλοιο γέροντος,
τοῖς οὐκ ἐρχομένοις ὁ γέρων ἐκρίνατ᾽ ὀνείρους,
ἀλλά σφεας κρατερὸς Διομήδης ἐξενάριξε.
βῆ δὲ μετὰ Ξάνθόν τε Θόωνά τε, Φαίνοπος υἷε,
ἄμφω τηλυγέτω· ὃ δὲ τείρετο γήραϊ λυγρῷ,
υἱὸν δ᾽ οὐ τέκετ᾽ ἄλλον ἐπὶ κτεάτεσσι λιπέσθαι.
ἔνθ᾽ ὅ γε τοὺς ἐνάριζε, φίλον δ᾽ ἐξαίνυτο θυμὸν
ἀμφοτέρω, πατέρι δὲ γόον καὶ κήδεα λυγρὰ
λεῖπ᾽, ἐπεὶ οὐ ζώοντε μάχης ἐκ νοστήσαντε
δέξατο· χηρωσταὶ δὲ διὰ κτῆσιν δατέοντο.
ἔνθ᾽ υἷας Πριάμοιο δύω λάβε Δαρδανίδαο,
εἰν ἑνὶ δίφρῳ ἐόντας, Ἐχέμμονά τε Χρομίον τε.
ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα ἄξῃ
πόρτιος ἠὲ βοός, ξύλοχον κάτα βοσκομενάων,
ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
βῆσε κακῶς ἀέκοντας, ἔπειτα δὲ τεύχε᾽ ἐσύλα·
ἵππους δ᾽ οἷς ἑτάροισι δίδου μετὰ νῆας ἐλαύνειν.
τὸν δ᾽ ἴδεν Αἰνείας ἀλαπάζοντα στίχας ἀνδρῶν,

GN 1. man. O 2. man. S Et. Mg. 681, 22. ὁ δὲ Πολύϊδος διφορεῖται παρὰ τοῖς παλαιοῖς ἔν τε διχρόνῳ καὶ διὰ διφθόγγου δὲ ἔχων τὴν παραλήγουσαν Eust. 533, 6. conf. N 663, 666.

V. L. 149 Εὐρυδάμαντος: εὐρυμέδοντος M. ὀνειροπόλοιο A. — 150 τοῖς: οἷς E bis. κρίνατ᾽ H. — 151 ἀλλὰ σφέας LMNO. καὶ γάρ σφεας E 532, 38. ἐξενάριξε ACGHMNO. ἐξενάρηξεν D. — 152 ξάνθόν τε AD. θέωνά τε N. φῖνοπος M. — 153 ὃ C. δὲ, τείρετο CL. δὲ τείρετο A Vrat. a. c. A. ὃ δ᾽ ἐτείρετο D. ὅδ᾽ ἐτείρετο GMNO. ὁ δ᾽ ἐτείρετο ES. ὅδ᾽ ἐτείρατο H. — 154 τέκετ᾽: τέκεν H. υἱὸν δ᾽ οὐκέτ᾽ ἄλλον L. — 155 ἐνάριξε D 1. man. MNOS Cant. Vrat. a. b. A. Mosc. 1. 3. — 156 ἀμφοτέρῳ H. ἀμφοτέρων LMN Cant. Vrat. b. πατρὶ μέν γε γόον G. κήδεϊ A. — 157 ἐκνοστήσαντε ACDEGHLMNO. — 158 δια, κτῆσιν S. δια CDGL. — 159 υἷας libri mei cum Townl. Vrat. b. c. A. Mosc. 1. alii υἱοὺς. δύο GH. — 160 ἐχέμονά DGH. ἐχαίμονά LN. χρόμϊόν CDGHLMNO. — 161 θορῶν C. ἄξει CEN Rhet. Gr, III, 107, 3. ἄξῃ (ει) L. ἄξη ADGHMO Barocc. Townl. Lips. 1. man. Vrat. A. Mosc. 1. — 162 κάτα βοσκομενάων ADLO Et. Mg. 123, 37; 342, 11. Et. Gud. 189, 40: κατὰ Cram. Epim. 154, 17: καταβοσκομενάων CEGHMN. — 163 ὡς AD. — 166 omitt. O in textu.

A. c. 156 ἀμφοτέρω: ἀμφοτέρων Zenodotus. — 158 δατέονται Heraclides, conf. Osann. Quaest. Hom. IV, 20. — 160 ἐόντας: ἑόντε Aristophanes? cf. Schol. Λ 103. dualem defendit Ahrens. de hiat. Hom. legit. quibusdam generibus pg. 20. — 161 ἄξῃ postulat G. Hermann. Opusc. II, 46. — 162 πόρτιος: βουκόλου Zenodotus. κάτα βοσκομενάων, conf. Δ 230, Ε 332, 763, Π 96, Ρ 207, Σ 492, Υ 221, 329, Ω 705, α 247, ε 335, λ 201, ν 377, π 424, τ 48, φ 346, ψ 290.

βῆ δ᾽ ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων
Πάνδαρον ἀντίθεον διζήμενος, εἴ που ἐφεύροι.
εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε,
στῆ δὲ πρόσθ᾽ αὐτοῖο ἔπος τέ μιν ἀντίον ηὔδα·
Πάνδαρε, ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀιστοὶ
καὶ κλέος, ᾧ οὔ τίς τοι ἐρίζεται ἐνθάδε γ᾽ ἀνήρ;
οὐδέ τις ἐν Λυκίῃ σέο γ᾽ εὔχεται εἶναι ἀμείνων.
ἀλλ᾽ ἄγε τῷδ᾽ ἔφες ἀνδρὶ βέλος Διὶ χεῖρας ἀνασχών,
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ᾽ ἔλυσεν·
εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν,
ἱρῶν μηνίσας· χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις.
τὸν δ᾽ αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Τυδεΐδῃ μιν ἐγώ γε δαΐφρονι πάντα ἐίσκω,
ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείῃ,
ἵππους τ᾽ εἰσορόων· σάφα δ᾽ οὐκ οἶδ᾽ εἰ θεός ἐστιν.
εἰ δ᾽ ὅ γ᾽ ἀνήρ, ὅν φημι, δαΐφρων Τυδέος υἱός,
οὐχ ὅ γ᾽ ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
ἕστηκ᾽ ἀθανάτων νεφέλῃ εἰλυμένος ὤμους,
ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.
ἤδη γάρ οἱ ἐφῆκα βέλος, καί μιν βάλον ὦμον
δεξιὸν ἀντικρὺ διὰ θώρηκος γυάλοιο·
καί μιν ἐγώ γ᾽ ἐφάμην Ἀϊδωνῆι προϊάψειν,
ἔμπης δ᾽ οὐκ ἐδάμασσα· θεός νύ τίς ἐστι κοτήεις.

---

V. L. 169 εὗρε δὲ MO. — 170 ηὗδα D. — 171 ἰδὲ: ἠδὲ CG. — 172 ᾧ δὴ οὔτις τοι γ̓ἐρίζεται (ε superscr.) G omisso ἐνθάδε γ᾽. οὔ τίς τοι: libri οὔτις τοι. — 174 ἔφες: ἄφες GL. — 175 ὅδε: ὧδε LN. ἔοργε ACDGHLMNO. — 176 τρῷας GL. πολλῶν τὲ O. — 177 τρῴεσσιν GL. τρώεσσι MO. — 178 ἱερῶν G. ἔπι μῆνις E 535, 45 HM. ἐπὶ μῆνις AL Lips. ἐπιμῆνις CDE 564, 16 GNO. — 180 τρῴων G. — 181 μιν: μὲν GO sup. — 182 γιγνώσκων CLM 2. man. N 2. man. Schol. Ε 183: γινώσκων ADEGHM 1. man. N 1. man O Lips. Schol. Γ 166. — 183 ἵππους δ᾽ M. ἐστι C. — 184 ὅδ᾽ ἀνὴρ Cant. ὃν φημὶ CDGH. ὃ φημι L. δαΐφρονος S. — 185 ὅ γ᾽: ὅδ᾽ E. ἄνευ G. — 187 κιχήμενον (ος superscr.) S. — 188 γάρ ῥ οἱ D. — 189 δια C. — 190 ἔγωγε φάμην O. — 191 ἐδάμασα M. νύ τις ἐστὶ EGLMN. νύ τις ἔστι DO. νύ τοι ἐστὶ C.

---

A. c. 178 ἐπὶ μῆνις Aristarchus, κατὰ παρολκὴν τῆς ἐπί, conf. H. U. 261 sqq. — 181 μιν et μὲν Aristarchus, διχῶς. — 183 ἀθετεῖται Aristonicus. — 187 Ζηνόδοτος ἠθέτηκεν Aristonicus.

ἵπποι δ᾽ οὐ παρέαϲι καὶ ἅρματα, τῶν κ᾽ ἐπιβαίην·
ἀλλά που ἐν μεγάροιϲι Λυκάονοϲ ἕνδεκα δίφροι
καλοὶ πρωτοπαγεῖϲ νεοτευχέεϲ· ἀμφὶ δὲ πέπλοι
πέπτανται· παρὰ δέ ϲφιν ἑκάϲτῳ δίζυγεϲ ἵπποι
ἑϲτᾶϲι κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύραϲ.
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
ἐρχομένῳ ἐπέτελλε δόμοιϲ ἔνι ποιητοῖϲιν·
ἵπποιϲίν μ᾽ ἐκέλευε καὶ ἅρμαϲιν ἐμβεβαῶτα
ἀρχεύειν Τρώεϲϲι κατὰ κρατερὰϲ ὑϲμίναϲ·
ἀλλ᾽ ἐγὼ οὐ πιθόμην, ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν,
ἵππων φειδόμενοϲ, μή μοι δευοίατο φορβῆϲ,
ἀνδρῶν εἰλομένων, εἰωθότεϲ ἔδμεναι ἄδην.
ὣϲ λίπον, αὐτὰρ πεζὸϲ ἐϲ Ἴλιον εἰλήλουθα
τόξοιϲιν πίϲυνοϲ· τὰ δέ μ᾽ οὐκ ἄρ᾽ ἔμελλον ὀνήϲειν.
ἤδη γὰρ δοιοῖϲιν ἀριϲτήεϲϲιν ἐφῆκα,
Τυδείδῃ τε καὶ Ἀτρείδῃ, ἐκ δ᾽ ἀμφοτέροιιν
ἀτρεκὲϲ αἷμ᾽ ἔϲϲευα βαλών, ἤγειρα δὲ μᾶλλον.
τῷ ῥα κακῇ αἴϲῃ ἀπὸ παϲϲάλου ἀγκύλα τόξα
ἤματι τῷ ἑλόμην, ὅτε Ἴλιον εἰϲ ἐρατεινὴν
ἡγεόμην Τρώεϲϲι φέρων χάριν Ἕκτορι δίῳ.
εἰ δέ κε νοϲτήϲω καὶ ἐϲόψομαι ὀφθαλμοῖϲι
πατρίδ᾽ ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲϲ μέγα δῶμα,
αὐτίκ᾽ ἔπειτ᾽ ἀπ᾽ ἐμεῖο κάρη τάμοι ἀλλότριοϲ φώϲ,
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην

V. L. 193 μεγάροιϲ H. — 195 παρα AD. — 196 ἱϲτᾶϲι L. — 198 ἐνὶ CDGHLMNO: εὖ Vrat. a. ποιητοῖϲι D. — 199 ἵπποιϲί DGNO. με κέλευε D. μ᾽ ἐκέλευϲε O. τ᾽ ἐκέλευε H. ἐμμεμαῶτα Mor. Vrat. c. — 200 τρῴεϲϲι GL. — 201 ἔγωγε G. πειθόμην M. ἦτ᾽ D. γρ. εἶτ᾽ ἂν O. πολϋκέρδιον O 1. man. — 203 εἱλομένων EGLM. ἄδην D 1. man. E bis Cram. An. Par. III, 327, 11. ceteri ἄδδην. — 204 ὡϲ A. ἀτὰρ DO. αὐτὰρ ὁ L. ἐϲῖλιον A. ἐϲ omitt. G. εἰϲ CMNO. ἠλήλουθα O. hunc versum omitt. H in textu. — 205 τόξοιϲι DEGMNO Lips. ἆρ DGM. ἀρ A. ἔμελλον CGHLMN: ἔμελλεν ADEO. — 206 ἐφῆκα A. — 207 τὲ καὶ CMO. ἀμφοτέροι|||ϊν O post ras. — 208 ἔϲευα G. — 209 τῶ ACGLMNO. τῷ DH. ῥὰ DMNO. — 210 ὅτε τ᾽ C. ὅτε γ᾽ G. — 211 τρῴεϲϲι GL. — 212 ὀφθαλμοῖϲι ACDEGMNO. — 213 ὑψερεφὲϲ ACEH Mor. ὑψιρεφὲϲ GL post ras. M Barocc. ὑψηρεφὲϲ DNO Lips. Vrat. b. c. — 214 ἐμοῖο N post ras. S. τάμῃ Vrat. a. — 215 ἂν μὴ G.

A. c. 194 Ζηνόδοτοϲ μετέθηκεν (ἠθέτηκεν?) Aristonicus. — 203 ἀρίϲταρχοϲ ἄδην, ἄλλοι δὲ ἄδδην διὰ β′ δδ Didymus. Nicias ἄδδην, conf. H. T. 179. — 205 ἔμελλον: ἔμελλεν, conf. H. T. 383. — 211 τινὲϲ μεταγράφουϲι „Τρώεϲϲι φέρων χάριν ἱπποδάμοιϲιν“ Aristonicus.

χερϲὶ διακλάϲϲαϲ· ἀνεμώλια γάρ μοι ὀπηδεῖ.
τὸν δ᾽ αὖτ᾽ Αἰνείαϲ, Τρώων ἀγόϲ, ἀντίον ηὔδα·
μὴ δὴ οὕτωϲ ἀγόρευε· πάροϲ δ᾽ οὐκ ἔϲϲεται ἄλλωϲ,
πρίν γ᾽ ἐπὶ νὼ τῷδ᾽ ἀνδρὶ ϲὺν ἵπποιϲιν καὶ ὄχεϲφιν
ἀντιβίην ἐλθόντε ϲὺν ἔντεϲι πειρηθῆναι.
ἀλλ᾽ ἄγ᾽ ἐμῶν ὀχέων ἐπιβήϲεο, ὄφρα ἴδηαι,
οἷοι Τρώιοι ἵπποι, ἐπιϲτάμενοι πεδίοιο
κραιπνὰ μάλ᾽ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεϲθαι·
τὼ καὶ νῶι πόλιν δὲ ϲαώϲετον, εἴ περ ἂν αὖτε
Ζεὺϲ ἐπὶ Τυδείδῃ Διομήδεϊ κῦδοϲ ὀρέξῃ.
ἀλλ᾽ ἄγε νῦν μάϲτιγα καὶ ἡνία ϲιγαλόεντα
δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήϲομαι, ὄφρα μάχωμαι·
ἠὲ ϲὺ τόνδε δέδεξο, μελήϲουϲιν δ᾽ ἐμοὶ ἵπποι.
τὸν δ᾽ αὖτε προϲέειπε Λυκάονοϲ ἀγλαὸϲ υἱόϲ·
Αἰνεία, ϲὺ μὲν αὐτὸϲ ἔχ᾽ ἡνία καὶ τεὼ ἵππω·
μᾶλλον ὑφ᾽ ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
οἴϲετον, εἴ περ ἂν αὖτε φεβώμεθα Τυδέοϲ υἱόν.
μὴ τὼ μὲν δείϲαντε ματήϲετον, οὐδ᾽ ἐθέλητον
ἐκφερέμεν πολέμοιο τεὸν φθόγγον ποθέοντε,
νῶι δ᾽ ἐπαΐξαϲ μεγαθύμου Τυδέοϲ υἱόϲ
αὐτώ τε κτείνῃ καὶ ἐλάϲϲῃ μώνυχαϲ ἵππουϲ.
ἀλλὰ ϲύ γ᾽ αὐτὸϲ ἔλαυνε τέ᾽ ἅρματα καὶ τεὼ ἵππω,

---

V. L. 216 διακλάϲαϲ CDEGHO. διακλάξαϲ A. ὀπήδει Apoll. Lex. 35, 19. — 217 τρῴων CGL. — 218 *μὴ δὴ: libri μὴ δ᾽. παρέλκει δὲ ὁ πρῶτοϲ δε ϲύνδεϲμοϲ καὶ κεῖται ἀντὶ τοῦ δη Eust. 541, 9. — 219 νὼ: νῶ Apoll. Lex. 117, 14. τῶι ἀνδρὶ D. ἵπποιϲι DHMNO Lips. ὄχεϲφι ACDHN Apoll. Lex. 117, 14. — 220 ϲυνέντεϲι A. πειραθῆναι M. — 221 ἐπιβήϲαιο N. — 222 τρῴϊοι G. — 223 διώκειν Plato Laches 191 B. φέυεϲθαι G. — 224 τῶ καὶ LO. τῶ et τὼ A eadem manu. πόλιν δὲ AD. εἴπερ : εἴκεν Vrat. a. — 225 ὀρέξει EO. — 226 ἀλλά γε D. ἄλλα γε M. νῦν: δὴ MN Harl. — 227 ἀποβήϲομαι ADGHLMNO 2. man. conf. Eust. 542, 16. ἐπιβήϲομαι S. ἐπιβήϲομαι (ἀπο) CO 1. man. Cant. Vrat. c. Mosc. 1. 3. — 228 τόνδε: τόνγε E 542, 18 N. μελήϲουϲι CDELMNO Lips. δ᾽ ἐμοὶ ACHMNO: δέ μοι DEGLS Lips. Vrat. a. b. c. A. Mosc. 1. 3. — 231 εἰωθότε L. — 233 οὐδὲ θέλητον DN. — 234 ποθέοντεϲ DE 557, 31 L. — 236 κτείνει G. ἐλάϲῃ DEL. ἐλάϲοι G. — 237 ἀλλ᾽ αὐτὸϲ ϲύ γ᾽ C. ἔλαυνέ τε M. ἔλαυνέ θ᾽ ἅρματα O.

---

A. c. 218 μὴ δὴ οὕτωϲ conf. H. U. 281. — 219 νὼ: alii νῷ conf. H. U. 190. — 227 οὕτωϲ ἀρίϲταρχοϲ ἀποβήϲομαι διὰ τοῦ α Didymus. Zenodotus ἐπιβήϲομαι. — 231 οὕτωϲ εἰωθότι καὶ Ἀρίϲταρχοϲ καὶ ϲχεδὸν ἅπαντεϲ Didymus. altera lectio erat εἰωθότε.

τόνδε δ᾽ ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέι δουρί.
ὣϲ ἄρα φωνήϲαντεϲ, ἐϲ ἅρματα ποικίλα βάντεϲ,
ἐμμεμαῶτ᾽ ἐπὶ Τυδείδῃ ἔχον ὠκέαϲ ἵππουϲ.
τοὺϲ δὲ ἴδε Ϲθένελοϲ, Καπανήιοϲ ἀγλαὸϲ υἱόϲ,
αἶψα δὲ Τυδείδην ἔπεα πτερόεντα προϲηύδα·
Τυδείδη Διόμηδεϲ, ἐμῷ κεχαριϲμένε θυμῷ,
ἄνδρ᾽ ὁρόω κρατερὼ ἐπὶ ϲοὶ μεμαῶτε μάχεϲθαι,
ἶν᾽ ἀπέλεθρον ἔχοντε· ὃ μὲν τόξων εὖ εἰδώϲ,
Πάνδαροϲ, υἱὸϲ δ᾽ αὖτε Λυκάονοϲ εὔχεται εἶναι·
Αἰνείαϲ δ᾽ υἱὸϲ μεγαλήτοροϲ Ἀγχίϲαο
εὔχεται ἐκγεγάμεν, μήτηρ δέ οἵ ἐϲτ᾽ Ἀφροδίτη.
ἀλλ᾽ ἄγε δὴ χαζώμεθ᾽ ἐφ᾽ ἵππων, μή δέ μοι οὕτω
θῦνε διὰ προμάχων, μή πωϲ φίλον ἦτορ ὀλέϲϲῃϲ.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προϲέφη κρατερὸϲ Διομήδηϲ·
μή τι φόβον δ᾽ ἀγόρευ᾽, ἐπεὶ οὐδέ ϲε πειϲέμεν οἴω·
οὐ γάρ μοι γενναῖον ἀλυϲκάζοντι μάχεϲθαι
οὐδὲ καταπτώϲϲειν· ἔτι μοι μένοϲ ἔμπεδόν ἐϲτιν·
ὀκνείω δ᾽ ἵππων ἐπιβαινέμεν, ἀλλὰ καὶ αὔτωϲ
ἀντίον εἶμ᾽ αὐτῶν· τρεῖν μ᾽ οὐκ ἐᾷ Παλλὰϲ Ἀθήνη.

---

V. L. 238 τόνδε δ᾽: τόνδ᾽ EN. ἐγὼ E 542, 19. — 239 φωνήϲαντε GL Mosc. 1. βάντε GL Mosc. 1., quod non displicet, conf. 234, 245. — 240 ἐμμεμαῶτεϲ E 543, 30 HM. — 241 τούϲδε G. — 242 αἶψ᾽ ἐπὶ τϋδείδην L. προϲηῦδα D. — 245 ἔχοντε GMN Harl. Mosc. 1. Vrat. b. Lesbonax περὶ ϲχημάτων pg. 186. ἔχοντεϲ Et. Gud. 278, 49. ceteri ἔχονταϲ. ὁ CDM. -- 246 δ᾽ omitt. N. — 247 θ᾽ υἱὸϲ C. μεγαλήτοροϲ A sup. DHS Schol. Τ 291. Rhet. Gr. III, 154, 7: μὲν ἀμύμονοϲ AGLMNO Lips. Townl. Barocc. Vrat. a. A. conf. Ε 468, Υ 208. — 248 abest a Vrat. a. δέ οἱ ἔϲτ᾽ ACDEHLM. — 249 ἀλλά γε M. μὴ δέ ACDGLMN. μοι: μεν G. οὕτω ACDE bis GHLMNO. — 250 θύναι G. δια A. ὀλέϲηϲ EM. — 251 ἆρ DGMN. ἀρ A. ἄρα H. — 252 φόβον μ᾽ L. οὐδέ ϲε CDHLMNO. οὐδε ϲὲ A. οὐδέ με S Cant. ceteri οὐδὲ ϲὲ, conf. 284. οὐδ᾽ ἐμὲ Pseudoplut. 138, 21. ὀΐω CDGMO. — 253 γὰρ μοὶ A. ἐμοὶ S Cant. Mosc. 1. γάρ μοι ceteri cum Apoll. Lex. 54, 17. Schol. Pind. Pyth. VIII, 53. — 254 ἐϲτι DMNO. — 255 ἐπιβαινέμεν: ἐπιβήμεναι EM, conf. Schol. Soph. Trach. 7. αὔτωϲ AEGHLMNO. οὕτωϲ Lips. Townl. — 256 ἀντίοϲ S Cant. μ᾽ οὐκ: δ᾽ οὐκ S. ἐᾷ DGHMNO Aristonicus ad N 515. ἐᾶ CL: ἔα AE Et. Mg. 637, 31. Draco de Metr. 71, 16.

---

A. C. 238 τόνδε δ᾽ Herodianus ad Ω 17. — 245 ἔχοντε probat Ahrens. de hiatus Hom. legitimis quibusdam generibus pg. 20. de duali in hac sede vocabulo praeposita, quod a vocali incipit, conf. Ε 12, Θ 378, θ 361, Λ 103, Ρ 103, ε 477. — 247 μεγαλήτοροϲ scripsi, ut Ε 468, Υ 208. — 249 ἐφ᾽ ἵππων Aristarchus. an alii ἐφ᾽ ἵππουϲ? — 249, 250 δοκεῖ Ζηνόδοτοϲ τοῦτον καὶ τὸν ἑξῆϲ ἠθετηκέναι Aristonicus. — 252 οὐδέ ϲε Ptolem. Ascalonita: οὐδὲ ϲὲ Herodianus. — 256 ἐᾷ: ἔα Herodianus.

τούτω δ᾽ οὐ πάλιν αὖτις ἀποίϲετον ὠκέες ἵπποι
ἄμφω ἀφ᾽ ἡμείων, εἴ γ᾽ οὖν ἕτερός γε φύγῃϲιν.
ἄλλο δέ τοι ἐρέω, ϲὺ δ᾽ ἐνὶ φρεϲὶ βάλλεο ϲῇϲιν·
αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
ἀμφοτέρω κτεῖναι, ϲὺ δὲ τοῦϲδε μὲν ὠκέας ἵππους
αὐτοῦ ἐρυκακέειν, ἐξ ἄντυγος ἡνία τείνας·
Αἰνείαο δ᾽ ἐπαῖξαι μεμνημένος ἵππων,
ἐκ δ᾽ ἐλάϲαι Τρώων μετ᾽ ἐυκνήμιδας Ἀχαιούς.
τῆς γάρ τοι γενεῆς, ἧς Τρωί περ εὐρύοπα Ζεὺς
δῶχ᾽ υἷος ποινὴν Γανυμήδεος, οὕνεκ᾽ ἄριστοι
ἵππων, ὅϲϲοι ἔαϲιν ὑπ᾽ ἠῶ τ᾽ ἠέλιόν τε.
τῆς γενεῆς ἔκλεψεν ἄναξ ἀνδρῶν Ἀγχίϲης,
λάθρῃ Λαομέδοντος ὑποϲχὼν θήλεας ἵππους·
τῶν οἱ ἓξ ἐγένοντο ἐνὶ μεγάροιϲι γενέθλη·
τοὺς μὲν τέϲϲαρας αὐτὸς ἔχων ἀτίταλλ᾽ ἐπὶ φάτνῃ,
τὼ δὲ δύ᾽ Αἰνείᾳ δῶκεν, μήϲτωρε φόβοιο.
εἰ τούτω κε λάβοιμεν, ἀροίμεθά κε κλέος ἐϲθλόν.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
τὼ δὲ τάχ᾽ ἐγγύθεν ἦλθον ἐλαύνοντ᾽ ὠκέας ἵππους.

V. l. 257 τούτων M. πάλιν αὔτως D. ὠκέας ἵππους C. (οι supra ου) — 258 εἰ γοῦν CEGLM Eust. 1174, 2. φύγηϲϊ M. — 259 ἐνι AD. — 260 ὀρέξοι L. — 261 τοῦϲδε A: ceteri τούϲδε. — 262 ἐξάντυγος AD. — 263 ἐπαῖξαι ACDEGHMNO. ἐπάϊξαι LS. καλλίτριχας S et in marg. μεμνημένος. — 264 ἐξελάϲαι A. τρώων GL. μετεϋκνήμιδας A. εὐκνήμϊδας CDGHLN. (κδ᾽ supra) — 265 τρωΐ L. — 267 ὅϲοι C. ἠώ G. — 268 ἔκλεψε H. — 269 θήλεας ACDEHM: θηλέας GLNO Vrat. A. ὑποϲχὼν θήλεας ἵππους γράφουϲί τινες „ὑποϲχὼν θηλέας ἵππους ἀντὶ τοῦ θηλείας παροξυτόνως, καὶ οὐ προπαροξυτόνως θήλεας“ Eust. 558, 19. — 270 τῶν οἳ D. τῶν, οἳ M. ἐνι A. ἐνϊμμεγάροιϲϊ H. γενέθλη ADEGHMO Cant. Barocc. Vrat. a: γενέθλῃ C Lips. Vrat. c. A. γενέθλη (ηϲ supra) N. γενέθλαι L. — 271 τοὺς: τῶν M. — 272 δῶκε CDEGHMNO. μήϲτωρε ACDEGHLMNO et Heynii omnes. μήϲτωρι (ε supra) S. conf. Θ 108. — 273 ἀραίμεθα M. κε κλέος AHLO: κεν CDGMNS Cant. Barocc. Lips. Vrat. a. b. c. Townl. Mosc. 1. 3. ἂν E. conf. ϲ 255, τ 128. — 274 ὡς A.

A. c. 258 οὕτως εἰ γοῦν διὰ τοῦ γ̄, εἰ δὴ ἕτερος αὐτὸν φύγῃ Schol. A. εἰ γοῦν tuetur G. Hermann. Opusc. IV, 99. — 263 Αἰνείαο: Αἰνειῶο Zenodotus, non Αἰνείω, conf. ad 323. — 269 Ptolemaeus cum Aristarcho θήλεας: θηλέας Hellanicus. — 272 οὕτως ἀρίϲταρχος μήϲτωρε δυϊκῶς, ἐπὶ γὰρ τῶν ἵππων Didymus. — 273 γε λάβοιμεν Bekk. cum J. H. Vossio. de εἴ κεν cum optativo conf. Θ 196 εἰ τούτω κε λάβοιμεν, ἐελποίμην κὲν Ἀχαιοὺς αὐτονυχὶ νηῶν ἐπιβηϲέμεν et A 60, B 123, 597, H 387, I 141, T 322, Ψ 346.

τὸν πρότερος προςέειπε Λυκάονος ἀγλαὸς υἱός·
καρτερόθυμε, δαΐφρον, ἀγαυοῦ Τυδέος υἱέ·
ἦ μάλα ϲ᾽ οὐ βέλος ὠκὺ δαμάςςατο, πικρὸς ὀιςτός·
νῦν αὖτ᾽ ἐγχείῃ πειρήςομαι, αἴ κε τύχωμι.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόςκιον ἔγχος,
καὶ βάλε Τυδείδαο κατ᾽ ἀςπίδα· τῆς δὲ διὰ πρὸ
αἰχμὴ χαλκείη πταμένη θώρηκι πελάςθη.
τῷ δ᾽ ἐπὶ μακρὸν ἄυςε Λυκάονος ἀγλαὸς υἱός·
βέβληαι κενεῶνα διαμπερές, οὐδέ ϲ᾽ ὀίω
δηρὸν ἔτ᾽ ἀνςχήςεςθαι· ἐμοὶ δὲ μέγ᾽ εὖχος ἔδωκας.
τὸν δ᾽ οὐ ταρβήςας προςέφη κρατερὸς Διομήδης·
ἤμβροτες, οὐδ᾽ ἔτυχες· ἀτὰρ οὐ μὲν ςφῶί γ᾽ ὀίω
πρίν γ᾽ ἀποπαύςεςθαι, πρίν γ᾽ ἢ ἕτερόν γε πεςόντα
αἵματος ἆςαι Ἄρηα, ταλαύρινον πολεμιςτήν·
ὣς φάμενος προέηκε· βέλος δ᾽ ἴθυνεν Ἀθήνη
ῥῖνα παρ᾽ ὀφθαλμόν, λευκοὺς δ᾽ ἐπέρηςεν ὀδόντας.
τοῦ δ᾽ ἀπὸ μὲν γλῶςςαν πρυμνὴν τάμε χαλκὸς ἀτειρής,
αἰχμὴ δ᾽ ἐξεςύθη παρὰ νείατον ἀνθερεῶνα.
ἤριπε δ᾽ ἐξ ὀχέων, ἀράβηςε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ
αἰόλα, παμφανόωντα, παρέτρεςςαν δέ οἱ ἵπποι

---

V. L. 276 τὸν: τῶν N. τὼ Mosc. 1. — 277 καρτερόθυμε A. — 278 ἢ D. — 279 τύχωμι A: ceteri τύχοιμι cum Et. Mg. 608, 52. Thom. Mag. s. v. νῦν. Drac. de Metr. 151, 5. — 280 ἦ ῥὰ CDGHLMNO. προΐη Vrat. a. δολιχόςκιον A. — 281 διὰ πρὸ MO: ceteri διαπρὸ. — 282 πεπταμένη θώρακι G. — 283 ἔπι D. — 285 ἂν ςχήςεςθαι D. ἀναςχήςεςθαι L. — 288 πρίν γ᾽: πρὶν L. ἀποπαύςεςθαι DN: ἀποπαύςαςθαι CGHLMOS Cant. Barocc. Lips. Vrat. b. c. A. Mosc. 1. 3. ἀποπαύςαςθαι A. ἀναπαύςαςθαι Townl. πρὶν ἢ L, conf. Χ 266. — 289 ἄρηα κατὰ λαύρϊνον H. — 290 ὡς A. προέηκε A. — 292 πρύμνην L. — 293 ἐξεςύθη CDEGLNO Vrat. a. A. Lucianus 60, 27. ἐξεςςύθη Vrat. b. ἐξελύθη AHM Mor. Barocc. Cant. Vrat. c. Apoll. Lex. 15, 12. Schol. Ο 451. ἐξελύθη Harl. ἐξελάθη S. ἐξέςυτο Lips. Townl. ἐξεχύθη Mosc. 1. ed. Romana. — 295 παμφανόεντα G. παρέτρεςαν CDEGL. παρέτρεςεν H.

---

A. c. 279 τύχωμι, conf. H. U. 250. — 281 τῆς δὲ: ἢ δὲ? conf. Ε 66, Η 260, Υ 276. — 283 ἐπὶ: οὐκ ἀναςτρεπτέον τὴν πρόθεςιν Herodianus. — 288 γ᾽ bis positum delevit Bekkerus, conf. Ε 258, 827, Π 30, Χ 266. — 289 ταλαύῥινον Trypho assentiente Herodiano: ταλαύρινον Aristarchus cum Aristophane. — 293 Aristarchus ἐξελύθη, quod explicant τῆς ὁρμῆς ἐπαύςατο: ἐξεςύθη Zenodotus.

ὠκύποδεϲ· τοῦ δ' αὖθι λύθη ψυχή τε μένοϲ τε.
Αἰνείαϲ δ' ἀπόρουϲε ϲὺν ἀϲπίδι δουρί τε μακρῷ,
δείϲαϲ μή πωϲ οἵ ἐρυϲαίατο νεκρὸν Ἀχαιοί.
ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε λέων ὣϲ ἀλκὶ πεποιθώϲ,
πρόϲθε δέ οἱ δόρυ τ' ἔϲχε καὶ ἀϲπίδα πάντοϲ' εἴϲην
τὸν κτάμεναι μεμαώϲ, ὅϲ τιϲ τοῦ γ' ἀντίοϲ ἔλθοι,
ϲμερδαλέα ἰάχων. ὁ δὲ χερμάδιον λάβε χειρὶ
Τυδείδηϲ, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰϲ'. ὁ δέ μιν ῥέα πάλλε καὶ οἶοϲ.
τῷ βάλεν Αἰνείαο κατ' ἰϲχίον, ἔνθά τε μηρὸϲ
ἰϲχίῳ ἐνϲτρέφεται, κοτύλην δέ τέ μιν καλέουϲι·
θλάϲϲε δέ οἱ κοτύλην, πρὸϲ δ' ἄμφω ῥῆξε τένοντε·
ὦϲε δ' ἀπὸ ῥινὸν τρηχὺϲ λίθοϲ. αὐτὰρ ὅ γ' ἥρωϲ
ἔϲτη γνὺξ ἐριπὼν καὶ ἐρείϲατο χειρὶ παχείῃ
γαίηϲ· ἀμφὶ δὲ ὄϲϲε κελαινὴ νὺξ ἐκάλυψε.
καί νύ κεν ἔνθ' ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείαϲ,
εἰ μὴ ἄρ' ὀξὺ νόηϲε Διὸϲ θυγάτηρ Ἀφροδίτη,
μήτηρ, ἥ μιν ὑπ' Ἀγχίϲῃ τέκε βουκολέοντι·
ἀμφὶ δ' ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ,
πρόϲθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμα κάλυψεν,
ἕρκοϲ ἔμεν βελέων, μή τιϲ Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ ϲτήθεϲϲι βαλὼν ἐκ θυμὸν ἕλοιτο.
ἣ μὲν ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο·

---

V. l. 297 ἀπόρουϲε ACDGMOS 1. man. Cant. Harl. Lips. Vrat. b. A. Mosc. 1. ἐπόρουϲε LS 2. man. ἐπώρουϲε N. ἀπορουϲε (ε supra) H. — 298 libri μήπωϲ οἱ: G μή πωϲ οἵ bene, conf. H. U. 144. — 299 ἂρ GLMN. ἀρ A. ὡϲ D. — 300 προϲ δέ οἱ N. πάντοϲε ἴϲην LMNOS Townl. — 301 τοῦ γ': τοῦδ' Mosc. 1. ἀντίοϲ ACGLMNO Harl. Vrat. c. A. Mosc. 3. ἀντίον DEHS. ἔλθῃ N Vrat. A. — 302 ὃ δὲ CD. — 303 δύο ἄνδρε D. — 304 οἷοι: τῶν οἱ Pseudoplut. 115, 49. ὃ O. πάλε N. — 305 ἔνθά τε ACDHMNO. ἔνθα γε G Mosc. 1. — 306 ἰϲχίῳ: ἰνίῳ Cram. An. Ox. II, 372, 28. δέ τε μιν ACL. καλέουϲι ACDEGHMNO. — 307 τένοντε omnes. — 308 ἄπο H. — 310 ἀμφὶ δέ οἱ ὄϲϲε E. ἐκάλυψε ACEGHMNO. — 312 ἂρ DGMNO. ἀρ A. — 314 δ' ἑὸν CDHMNO: δὲ ὃν EGLS Cant. δὲ ὄν A. δ' ὃν Vrat. b. — 315 * πτύγμα κάλυψεν: libri πτύγμ' (A πτύγ' μ') ἐκάλυψεν. — 317 ἐνι AD. ϲτήθεϲι E. ϲτήθεϲι (ϲ supra) N. ἐκ θυμόν, non ἀπὸ, libri mei cum Cant. Barocc. Vrat. a. Mosc. 1. ἕληται N. — 318 ὑπεξέφερε DLMNO Lips. πτολέμοιο N Harl.

---

A. c. 302 Aristarchus ἰάχων: ἰαχῶν Tyrannio. — 308 Herodianus ἀπὸ: ἄπο Ptolemaeus. — 310 ὁ ἀϲτερίϲκοϲ, ὅτι οὐκ ὀρθῶϲ ἐπὶ Ἕκτοροϲ λέγεται (Λ 356) Aristonicus.

οὐδ᾽ υἱὸϲ Καπανῆοϲ ἐλήθετο ϲυνθεϲιάων
τάων, ἃϲ ἐπέτελλε βοὴν ἀγαθὸϲ Διομήδηϲ,
ἀλλ᾽ ὅ γε τοὺϲ μὲν ἑοὺϲ ἠρύκακε μώνυχαϲ ἵππουϲ
νόϲφιν ἀπὸ φλοίϲβου, ἐξ ἄντυγοϲ ἡνία τείναϲ.
Αἰνείαο δ᾽ ἐπαΐξαϲ καλλίτριχαϲ ἵππουϲ
ἐξέλαϲε Τρώων μετ᾽ ἐυκνήμιδαϲ Ἀχαιούϲ.
δῶκε δὲ Δηιπύλῳ, ἑτάρῳ φίλῳ, ὃν περὶ πάϲηϲ
τῖεν ὁμηλικίηϲ, ὅτι οἱ φρεϲὶν ἄρτια ᾔδη,
νηυϲὶν ἔπι γλαφυρῇϲιν ἐλαυνέμεν. αὐτὰρ ὅ γ᾽ ἥρωϲ
ὧν ἵππων ἐπιβὰϲ ἔλαβ᾽ ἡνία ϲιγαλόεντα,
αἶψα δὲ Τυδείδην μέθεπε κρατερώνυχαϲ ἵππουϲ
ἐμμεμαώϲ· ὁ δὲ Κύπριν ἐπῴχετο νηλέι χαλκῷ,
γιγνώϲκων ὅ τ᾽ ἄναλκιϲ ἔην θεόϲ, οὐδὲ θεάων
τάων, αἵ τ᾽ ἀνδρῶν πόλεμον κάτα κοιρανέουϲιν,
οὔτ᾽ ἄρ᾽ Ἀθηναίη οὔτε πτολίπορθοϲ Ἐνυώ.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκίχανε πολὺν καθ᾽ ὅμιλον ὀπάζων,
ἔνθ᾽ ἐπορεξάμενοϲ μεγαθύμου Τυδέοϲ υἱὸϲ
ἄκρην οὔταϲε χεῖρα μετάλμενοϲ ὀξέι δουρὶ
ἀβληχρήν· εἶθαρ δὲ δόρυ χροὸϲ ἀντετόρηϲεν
ἀμβροϲίου διὰ πέπλου, ὅν οἱ χάριτεϲ κάμον αὐταί,
πρυμνὸν ὕπερ θέναροϲ. ῥέε δ᾽ ἄμβροτον αἷμα θεοῖο,
ἰχώρ, οἷόϲ πέρ τε ῥέει μακάρεϲϲι θεοῖϲιν·
οὐ γὰρ ϲῖτον ἔδουϲ᾽, οὐ πίνουϲ᾽ αἴθοπα οἶνον,
τοὔνεκ᾽ ἀναίμονέϲ εἰϲι καὶ ἀθάνατοι καλέονται.

---

V. l. 321 ἐρύκακε GNO. εἰρύκακε L. — 322 ἐξάντυγοϲ AD. — 324 τρῴων GL. εὐκνήμϊδαϲ CDGHLN. — 325 περὶ: πέρι GLN. — 326 ᾔδηι D. ᾔδη GL. ᾔιδει C. — 327 ἐπι AN. ἐπὶ CDHLMO. — 330 ὁ δὲ CD. — 331 γιγνώϲκων LN: γινώϲκων ACDEGHMO. ἔην θεὰ G. — 332 καταкοιρανέουϲιν ACDEGHLMNO. — 333 οὐτὰρ H. ἄρ DEGMN. ἀρ A. — 334 ῥα κίχανε G. — 336 abhinc usque ad vers. 635 codex A recentiore manu est scriptus: desunt scholia et signa critica. — 336 δουρὶ: χαλκῷ H Lips. — 337 ἀμβληχρὴν LS. δὲ διὰ χροὸϲ L. ἀντετόρηϲε D. — 338 δια DN. ὃν οἱ D. — 339 ὑπὲρ MNO. — 341 ἔδουϲιν D. πίνουϲιν DN. — 342 ἀναίμονεϲ εἰϲὶ GHL.

---

A. c. 322 Herodianus ἀπὸ. — 323 ὅτι Ζηνόδοτοϲ γράφει αἰνειῶο (cod. αἰνείω), οὐκ ἔϲτι δὲ αἰνειώϲ ὡϲ πετεώϲ Aristonicus, conf. 263. — 329 κρατερώνυχαϲ ἵππουϲ: κρατερωνύχεϲ᾽ ἵπποιϲ Zenodotus. — 331 ὅ τ᾽, conf. H. S. 265. — 332 κάτα κοιρανέουϲιν Ptolem. Ascalonita: κατακοιρανέουϲιν defendit Herodianus. — 337 ἀβληχρήν: ἀβλήχρην Heraclides Milesius, conf. Herod. et Eustath. ad Θ 178. Cram. Epim. 95, 11. Osann. Quaest. Hom. III, 5.

ἣ δὲ μέγα ἰάχουϲα ἀπὸ ἕο κάββαλεν υἱόν.
καὶ τὸν μὲν μετὰ χερϲὶν ἐρύϲατο Φοῖβοϲ Ἀπόλλων
κυανέῃ νεφέλῃ, μή τιϲ Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ ϲτήθεϲϲι βαλὼν ἐκ θυμὸν ἕλοιτο·
τῇ δ᾽ ἐπὶ μακρὸν ἄυϲε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
εἶκε Διὸϲ θύγατερ πολέμου καὶ δηιοτῆτοϲ·
ἦ οὐχ ἅλιϲ ὅττι γυναῖκαϲ ἀνάλκιδαϲ ἠπεροπεύειϲ;
εἰ δὲ ϲύ γ᾽ ἐϲ πόλεμον πωλήϲεαι, ἦ τέ ϲ᾽ ὀίω
ῥιγήϲειν πόλεμόν γε, καὶ εἴ χ᾽ ἑτέρωθι πύθηαι.
ὣϲ ἔφαθ᾽, ἣ δ᾽ ἀλύουϲ᾽ ἀπεβήϲετο, τείρετο δ᾽ αἰνῶϲ.
τὴν μὲν ἄρ᾽ Ἶριϲ ἑλοῦϲα ποδήνεμοϲ ἔξαγ᾽ ὁμίλου
ἀχθομένην ὀδύνῃϲι· μελαίνετο δὲ χρόα καλόν.
εὗρεν ἔπειτα μάχηϲ ἐπ᾽ ἀριϲτερὰ θοῦρον Ἄρηα
ἥμενον· ἠέρι δ᾽ ἔγχοϲ ἐκέκλιτο καὶ ταχέ᾽ ἵππω.
ἣ δὲ γνὺξ ἐριποῦϲα καϲιγνήτοιο φίλοιο
πολλὰ λιϲϲομένη χρυϲάμπυκαϲ ᾔτεεν ἵππουϲ·
φῖλε καϲίγνητε, κόμιϲαί τέ με δὸϲ δέ μοι ἵππουϲ,
ὄφρ᾽ ἐϲ Ὄλυμπον ἵκωμαι, ἵν᾽ ἀθανάτων ἕδοϲ ἐϲτί.
λίην ἄχθομαι ἕλκοϲ, ὅ με βροτὸϲ οὔταϲεν ἀνήρ,
Τυδεΐδηϲ, ὃϲ νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο.

V. l. 343 ἢ δὲ C. μέγ᾽ ἰάχουϲα ACGHMS Lips. κάμβαλεν ACL 1. man. NS: ceteri κάββαλεν. — 344 ἐρύϲατο ADEGH Lips.: ἐρύϲϲατο CLS cum aliis. — 346 ενι D. ἐνι N. ἕλοιτο ADEGLMNOS Cant. Lips. Harl. Townl. Barocc. Vratt. Mosc. 1.: ἕληται CH. — 348 θυγάτηρ CNO. πολέμοιο O. — 349 ἢ GNO: ceteri ἦ. ὅτι N. ὑπεροπεύειϲ AN. — 351 πόλεμόνδε (γε) DN. πόλεμόνδε C. καὶ εἴ γ᾽ H. ῥιγήϲειν καὶ εἰ χ᾽ ἑτέρωθι πυθη πόλεμόν γε G. — 352 ἣδ᾽ AD. ἥδ᾽ CGHM. ἀλύουϲ᾽ H. ἀκέουϲ᾽ Et. Gud. 25, 24. Et. Orionis 4, 1. ἀπεβήϲετο AD Vrat. b. 1. man. c.: ἀπεβήϲατο CEGHLNO Cram. Epim. 23, 3; 273, 1. Bekk. An. 380, 24. Bachm. Anecd. I, 72, 4. Et. Gud. 25, 24. Eust. 654, 54. ἀπεβήϲ|||το M. — 353 ἄρ ADGLMN. — 355 εὗρεν δ᾽ D. — 357 ἢ δὲ C. — 358 ἐλιϲϲομένη S. — 359 φῖλε GM: ceteri φίλε. καϲίγνητε κόμιϲαί C 1. man. DEGHMNO Harl. Townl. Vrat. a. b. Et. Mg. 526, 48: καϲίγνητ᾽ ἐκκόμιϲαι AC 2. man. L. Lips. καϲίγνητε ἐκκόμιϲαί S. δέ με G. δὸϲ δέ μοι ADEHLMNOS. δόϲ τέ μοι C. — 360 ἐϲτί AGMNO. — 361 λίαν G. — 362 ὃϲ δή γε E 357, 11.

A. c. 343 ἰάχουϲα: ἰαχοῦϲα Tyrannio. — 344 ἐρύϲατο dedi ex optimis libris, conf. Β 859, Λ 363, Ο 290, Υ 194, 450, α 6, ξ 279, χ 372. — 350 ἔν τιϲι γράφεται „εἰ δὲ καὶ ἐϲ“ Schol. LV. — 352 ἀλύουϲ᾽: ἁλύουϲ᾽ Ptolem. Ascalonita, conf. H. T. 186. — 359 φῖλε Ptolemaeus Ascalonita, conf. ad Δ 155. ϲημειωτέον ὅτι καὶ ἀκεφάλοιϲ χρῆται ὁ ποιητήϲ, ὥϲτε οὐ χρὴ περιϲπᾶν τὸ „φίλε καϲίγνητε“ Schol. DV ad Χ 379. δὸϲ δέ μοι libri fere omnes. quod cur Heynio suspectum fuerit non video, conf. Matth. Gramm. § 626.

ὣϲ φάτο, τῇ δ᾽ ἄρ᾽ Ἄρηϲ δῶκε χρυϲάμπυκαϲ ἵππουϲ.
ἣ δ᾽ ἐϲ δίφρον ἔβαινεν ἀκηχεμένη φίλον ἦτορ.
πὰρ δέ οἱ Ἶριϲ ἔβαινε καὶ ἡνία λάζετο χερϲί,
μάϲτιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἀέκοντε πετέϲθην.
αἶψα δ᾽ ἔπειθ᾽ ἵκοντο θεῶν ἕδοϲ, αἰπὺν Ὄλυμπον.
ἔνθ᾽ ἵππουϲ ἔϲτηϲε ποδήνεμοϲ ὠκέα Ἶριϲ
λύϲαϲ᾽ ἐξ ὀχέων, παρὰ δ᾽ ἀμβρόϲιον βάλεν εἶδαρ·
ἣ δ᾽ ἐν γούναϲι πῖπτε Διώνηϲ δῖ᾽ Ἀφροδίτη,
μητρὸϲ ἑῆϲ· ἣ δ᾽ ἀγκὰϲ ἐλάζετο θυγατέρα ἥν,
χειρί τέ μιν κατέρεξεν ἔποϲ τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τίϲ νύ ϲε τοιάδ᾽ ἔρεξε φίλον τέκοϲ Οὐρανιώνων
μαψιδίωϲ, ὡϲ εἴ τι κακὸν ῥέζουϲάν ἐνωπῇ;
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα φιλομμειδὴϲ Ἀφροδίτη·
οὖτά με Τυδέοϲ υἱόϲ, ὑπέρθυμοϲ Διομήδηϲ,
οὕνεκ᾽ ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο,
Αἰνείαν, ὃϲ ἐμοὶ πάντων πολὺ φίλτατόϲ ἐϲτιν.
οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπιϲ αἰνή,
ἀλλ᾽ ἤδη Δαναοί γε καὶ ἀθανάτοιϲι μάχονται.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Διώνη, δῖα θεάων·
τέτλαθι τέκνον ἐμὸν καὶ ἀνάϲχεο κηδομένη περ.
πολλοὶ γὰρ δὴ τλῆμεν Ὀλύμπια δώματ᾽ ἔχοντεϲ
ἐξ ἀνδρῶν, χαλέπ᾽ ἄλγε᾽ ἐπ᾽ ἀλλήλοιϲι τιθέντεϲ.
τλῆ μὲν Ἄρηϲ, ὅτε μιν Ὦτοϲ κρατερόϲ τ᾽ Ἐφιάλτηϲ,

V. ʟ. 363 τῇ δ᾽ ἄρ᾽ ἄρηϲ CG(ἄρ)HOS Cant. Vrat. b. Mosc. 1.: τῇ δ᾽ ἄρηϲ ADLMN. — 364 ἤδ᾽ CHLMNO. ἀκαχημένη G. ἀκαχεμένη H ex corr.
α η
ἀκηχεμένη S. ἀκαχ|||μένη O. — 365 παρ CD. ἶριϲ DG. ἔβαινεν A. χερϲί GHMNO. — 366 μάϲτιξε EGNO 1. man. μάϲτιζεν L. μάϲτιζε N ex corr. ἐλάαν G. ἀέκοντε GO Cant. Barocc. Rhet. Gr. III, 233, 16. ἄκοντε ceteri cum Cram. Epim. 398, 6. Macrob. Sat. VI, 7, 14. Gell. Noct. Att. II, 6, 11. Drac. de Metr. 13, 5. ἄκοντ᾽ ἐπετέϲθην H. — 369 λύϲαϲ M. παρα C. πὰρ δ᾽ G. περὶ A. — 370 ἣ δ᾽ A Athenaeus X, 458. ἤδ᾽ CGLMNO. πῖπτε Athenaeus X, 458. Schol. Є 357: πίπτε ACDGHLMNO. — 371 ἣ δ᾽ D. ἤδ᾽ CGLMNO. ἥν: ἣν D. — 372 κατέρεψεν G. ὀνόμαζε ACDEGHLNO. — 373 τίϲ νυ ϲε D. — 374 ὡϲ εἴ τι CDEM Apoll. Lex. 69, 29. Et. Mg. 344, 55: ὡϲεί τι AGHLNO. ἐν ὠπῇ O et γρ. ἐνωπῖ ἤγουν ἐνώπ (sic). — 375 φιλομειδὴϲ ACGNO 1. man. Lips. — 376 οὖτα ACDGHLMN. — 377 πτολέμοιο N. — 378 πολυφίλτατοϲ ἐϲτίν D. φίλτατοϲ ἐϲτίν LN. — 379 τρῴων G. — 380 δαναοί τε Vrat. a. b. — 383 πολλοὶ: πολλὰ OS. — 385 ὅτέ μιν A. Ἐπιάλτηϲ Heracl..Alleg. C. 32. conf. Zonar. Lex. 790.

A. c. 366 de scriptura ἀέκοντε vid. H. U. 98. — 374 τινὲϲ δὲ γράφουϲιν ἐνιπῇ Schol. BL.

παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·
χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρεισκαίδεκα μῆνας.
καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης ἆτος πολέμοιο,
εἰ μὴ μητρυιή, περικαλλὴς Ἠερίβοια,
Ἑρμέᾳ ἐξήγγειλεν· ὃ δ' ἐξέκλεψεν Ἄρηα
ἤδη τειρόμενον, χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.
τλῆ δ' Ἥρη, ὅτε μιν κρατερὸς πάις Ἀμφιτρύωνος
δεξιτερὸν κατὰ μαζὸν ὀιστῷ τριγλώχινι
βεβλήκει· τότε καί μιν ἀνήκεστον λάβεν ἄλγος.
τλῆ δ' Ἀίδης ἐν τοῖσι πελώριος ὠκὺν ὀιστόν,
εὖτέ μιν ωὐτὸς ἀνήρ, υἱὸς Διὸς αἰγιόχοιο,
ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν.
αὐτὰρ ὃ βῆ πρὸς δῶμα Διὸς καὶ μακρὸν Ὄλυμπον
κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος· αὐτὰρ ὀιστὸς
ὤμῳ ἔνι στιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν.
τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων
ἠκέσατ'· οὐ μὲν γάρ τι καταθνητός γε τέτυκτο.
σχέτλιος, ὀβριμοεργός, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,
ὃς τόξοισιν ἔκηδε θεούς, οἳ Ὄλυμπον ἔχουσι.
σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
νήπιος, οὐδὲ τὸ οἶδε κατὰ φρένα Τυδέος υἱός,

---

V. L. 386 ἐνι D. — 387 * τρεισκαίδεκα: libri τρισκαίδεκα. — 388 καί AC. — 389 περικαλὴς ἐρίβοια G. — 390 ἑρμείαι A. ἑρμείᾳ Cant. ἑρμεῖ S. ἑρμέα τ' M. ὃ δ' DL. ὅδ' ACHMNO. ἔκλεψεν HL. — 392 ὅτέ μιν A. πάϊς AS: ceteri παῖς. — 394 καί μιν ADLS Cant. Barocc. Mosc. 1.: κέν μιν HMNO. καί μιν περ G. καί περ C et rec. man. γρ. κέν μιν. εὖχος N et supra ἄλγος. — 396 ὠυτὸς DLMNO. ωὐτὸς ACEGH Lips. Townl. Vrat. b. A. Mosc. 1. 3. ωὑτὸς Bekk. Anecd. 803, 23. — 397 ὀδύναισιν G. — 398 δ ACDGHLMNO. — 399 κῆρ' AC. ὀδύναισι G. — 400 ἐνὶ ACEGHLMNO. ἐνι D. ἐλήλατο EMNO Vrat. a. b. A. κηδε δ' ἓ θυμῷ G Mor. Barocc. — 401 ἐπϊ CD. — 402 κατὰ θνητός AMNO. κατὰ θνητός et καταθνητός E. γε τέτυκτο O Vrat. A. ceteri γ' ἐτέτυκτο. — 403 ὀμβριμοεργὸς ACG Eust. 564, 28. Cram. Epim. 305, 27. ὀβριμουργός S. ὃς: ὅδ' Cram. Ep. 51, 29. ὡς Cram. Ep. 73, 27. — 404 ἔχουσι ACGHMNO. — 405 ἔπι A. ἐπι D. — 406 νηπΐον H. τὸ ἤδη G. κατα D. 1. man. Τυδέος υἱός: καὶ κατὰ θυμόν E.

---

A. c. 387 τρεισκαίδεκα, conf. H. T. 229. — 394 τότε καί μιν: ἐν τῇ ἑτέρᾳ τότε κέν μιν Schol. V. — 397 Πύλῳ: πύλῳ Aristarchus ἀντὶ τοῦ πύλῃ, conf. Apollodorum II, 7, 3. Schol. V ad Π 203. Apollon. de Coni. 511. Eust. 563, 27. — 401 ἐπὶ, non ἔπι Schol. B. — 403 ὀβριμοεργός: αἰσυλοεργός Aristarchus. ὃς: διὰ τοῦ τ ὅτ' οὐκ ὄθετ' Schol. LV, voluit ὅ τ' = ὅτι τε. — 405 ἐπί: οὐκ ἀναστρεπτέον Schol. B.

ὅττι μάλ' οὐ δηναιὸϲ ὃϲ ἀθανάτοιϲι μάχηται,
οὐδέ τί μιν παῖδεϲ ποτὶ γούναϲι παππάζουϲιν
ἐλθόντ' ἐκ πολέμοιο καὶ αἰνῆϲ δηιοτῆτοϲ.
τῶ νῦν Τυδείδηϲ, εἰ καὶ μάλα καρτερόϲ ἐϲτι,
φραζέϲθω μή τίϲ οἱ ἀμείνων ϲεῖο μάχηται,
μὴ δὴν Αἰγιάλεια, περίφρων Ἀδρηϲτίνη,
ἐξ ὕπνου γοόωϲα φίλουϲ οἰκῆαϲ ἐγείρῃ,
κουρίδιον ποθέουϲα πόϲιν, τὸν ἄριϲτον Ἀχαιῶν,
ἰφθίμη ἄλοχοϲ Διομήδεοϲ ἱπποδάμοιο.
ἦ ῥα, καὶ ἀμφοτέρῃϲιν ἀπ' ἰχῶ χειρὸϲ ὀμόργνυ·
ἄλθετο χείρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.
αἳ δ' αὖτ' εἰϲορόωϲαι Ἀθηναίη τε καὶ Ἥρη
κερτομίοιϲ ἐπέεϲϲι Δία Κρονίδην ἐρέθιζον.
τοῖϲι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπιϲ Ἀθήνη·
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώϲεαι, ὅττί κεν εἴπω;
ἦ μάλα δή τινα Κύπριϲ Ἀχαιιάδων ἀνιεῖϲα
Τρωϲὶν ἅμα ϲπέϲθαι, τοὺϲ νῦν ἔκπαγλα φίληϲε,
τῶν τινα καῤῥέζουϲα Ἀχαιιάδων εὐπέπλων

---

V. L. 407 μάχηται DE 564, 38 HLMN Harl. Lips. Vrat. b. 2, man. c. Et. Mg. 266, 25. ΜΑΧΗΤΑΙ Ambros. μάχεται E 564, 36: μάχοιτο ACGOS. — 408 οὐδέ τι μιν ADLMNO. ποτὶ: ἐν Eust. 1283, 36. — 410 τῶι CDGLMO. ΤΩΙ Ambros. τῷ AHN. κρατερόϲ GHL. ἔϲτι A Ambros. CEHLMO. — 411 μή τιϲ οἱ ACDHLMNO. ἀμείνω ϲοῖο S. — 412 ἀδραϲτίνη G. — 413 ἐξύπνου D. ἀγείρῃ Lips. Mosc. 1. — 414 Διομήδουϲ ἱπποδάμεια Et. Mg. 480, 43. — 415 ΙΦΘΙΜΗΙ Ambros. — 416 ἧ ῥὰ ACDGHLMN. ἀμφοτέραιϲιν G. ἰχῶ A Ambros. E 566, 30 N Mor. Et. Mg. 480, 57. Et. Gud. 286, 53. Zonar. Lex. 1135. Bekk. An. 1233. ἰχὼ S: ἰχῶρ CDGLM. ἰχῶρ HO Cant. Eust. 984, 21. τὸ δὲ γράφειν ἰχῶρ μετὰ τοῦ ρ̄ κατὰ ἀποκοπὴν μόνου τοῦ τελευταίου φωνήεντοϲ οὐ πάνυ ἀρέϲκει τοῖϲ παλαιοῖϲ Eust. 566, 32. ὀμόργνυ: ὄμορξεν Et. Mg. 480, 57. ἀπομόργνυ H. — 417 ἄλφετο H. ἄλθετο δὲ χεὶρ A. — 418 αἳ δ' AL αἴδ' CHMNO. — 420 μῦθον M. — 421 ῥά τϊ μοι CHM. ῥὰ τί μοι LN. ἦ ῥα τί μοι D. — 422 ἧ D. ЄΝΙЄΙϹΑ Ambros. — 423 τρῳϲὶν L. ἅμα ϲπέϲθαι CDGHMN Mor. Harl. Townl. ἅμ' ἑϲπέϲθαι A Ambros. ELOS Lips. Rhet. Gr. III, 205, 30. *ἔκπαγλα φίληϲε: ἔκπαγλ' ἐφίληϲε A Ambros. CEGHLMNO Rhet. Gr. III, 205, 30. — 424 τινὰ EM. καῤῥέζουϲ' (α) G. καταρέζουϲα N. ἐϋπέπλων ACEGHLNS Rhet. Gr. III, 205, 30. Apoll. Lex. 95, 27. εὐ πέπλων M.

---

A. c. 408 οὐδέ τί μιν: διχῶϲ, καὶ οὐδέ τέ μιν Schol. V. — 416 χειρὸϲ: ἡ Ἀριϲτάρχειοϲ ἑνικῶϲ· ἡ Ζηνοδότου χερϲίν Schol. LV. — 424 ἐϋπέπλων, conf. H. U. 85.

προὸϲ χρυϲέῃ περόνῃ καταμύξατο χεῖρα ἀραιήν.
ὣϲ φάτο, μείδηϲεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί ῥα καλεϲϲάμενοϲ προϲέφη χρυϲέην Ἀφροδίτην·
οὔ τοι τέκνον ἐμὸν δέδοται πολεμήια ἔργα,
ἀλλὰ ϲύ γ᾽ ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
ταῦτα δ᾽ Ἄρηι θοῷ καὶ Ἀθήνῃ πάντα μελήϲει.
ὣϲ οἳ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον.
Αἰνείᾳ δ᾽ ἐπόρουϲε βοὴν ἀγαθὸϲ Διομήδηϲ,
γιγνώϲκων ὅ οἱ αὐτὸϲ ὑπείρεχε χεῖραϲ Ἀπόλλων·
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ οὐδὲ θεὸν μέγαν ἅζετο, ἵετο δ᾽ αἰεὶ
Αἰνείαν κτεῖναι καὶ ἀπὸ κλυτὰ τεύχεα δῦϲαι.
τρὶϲ μὲν ἔπειτ᾽ ἐπόρουϲε κατακτάμεναι μενεαίνων,
τρὶϲ δέ οἱ ἐϲτυφέλιξε φαεινὴν ἀϲπίδ᾽ Ἀπόλλων.
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέϲϲυτο δαίμονι ἶϲοϲ,
δεινὰ δ᾽ ὁμοκλήϲαϲ προϲέφη ἑκάεργοϲ Ἀπόλλων·
φράζεο Τυδείδη, καὶ χάζεο, μὴ δὲ θεοῖϲιν
ἶϲ᾽ ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ᾽ ἀνθρώπων.
ὣϲ φάτο, Τυδείδηϲ δ᾽ ἀνεχάζετο τυτθὸν ὀπίϲϲω
μῆνιν ἀλευάμενοϲ ἑκατηβόλου Ἀπόλλωνοϲ.
Αἰνείαν δ᾽ ἀπάτερθεν ὁμίλου θῆκεν Ἀπόλλων
Περγάμῳ εἰν ἱερῇ, ὅθι οἱ νηόϲ γε τέτυκτο·

---

V. L. 425 χρυϲέῃ: χρυϲῇ A Ambros. CDEGHLMNOS Lips. Rhet. Gr. III, 205, 30. καταμύξατο EN: κατεμύξατο A Ambr. CDGHLMO Rhet. Gr. III, 205, 30. ἀραιήν E bis HO: ceteri ἀραιήν. — 426 φᾶτο D. μείδηϲε DGN. μείδιϲε MO. — 427 καὶ ῥὰ GM. χρυϲέην: χρυϲῆν A Ambr. CD(ῆν)GHLMNOS. — 428 τέκνον ἐμόν, οὔ τοι Cicero ad Atticum XIV, 13, 2. Plutarchus de Aud. poët. 14. — 431 οἳ C. — 432 ἐπώρουϲε N. — 433 γιγνώϲκων ALN: ceteri γινώϲκων. χεῖρα O. — 434 ὅγ᾽ ἄρ AN. ὃ γὰρ CDLMO Lips. Mosc. 1. ὅγε οὐδὲ G. ἵετο DHM. — 435 ἄπο ACDGHLM. δύϲαι N. — 437 ϲτυφέλιξε L. — 438, 439 omitt. A. — 439 δεινά γ᾽ Mosc. 1. — 440 μὴ δὲ ACDGHLMNO. — 441 ἶϲα θέλε GO. — 442 χαμαί τ᾽ ἐρχομένων ἀνθρώπων G. — 444 ἀλευάμενοϲ: ἀλευόμενοϲ AGNS Cant. Lips. Townl. Vrat. a. b. Mosc. 1. — 445 ἀπάτερθεν: ἀπάνευθεν S Cant. conf. Schol. Θ 10. — 446 εἰν: ἐν CDEO Schol. Pind. Ol. VIII, 55. γε τέτυκτο O: ceteri γ᾽ ἐτέτυκτο praeter G qui γ᾽ omittit.

---

A. c. 425 καταμύξατο Aristarchus. ἀραιὴν Aristarchus, conf. H. T. 201. — 428 οὔ τοι Apollonius, conf. de Pron. 105 A: οὐ τοὶ Zenodotus, vid. Cram. Epim. 409, 14. — 443 Ἀρίϲταρχοϲ τυτθόν, οὐ πολλόν Schol. L, conf. Π 710.

ἦ τοι τὸν Λητώ τε καὶ Ἄρτεμις ἰοχέαιρα
ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε κύδαινόν τε.
αὐτὰρ ὃ εἴδωλον τεῦξ᾽ ἀργυρότοξος Ἀπόλλων
αὐτῷ τ᾽ Αἰνείᾳ ἴκελον καὶ τεύχεσι τοῖον,
ἀμφὶ δ᾽ ἄρ᾽ εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ
δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας
ἀσπίδας εὐκύκλους λαισήιά τε πτερόεντα.
δὴ τότε θοῦρον Ἄρηα προσηύδα Φοῖβος Ἀπόλλων·
Ἆρες Ἄρες βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα,
οὐκ ἂν δὴ τόνδ᾽ ἄνδρα μάχης ἐρύσαιο μετελθὼν
Τυδείδην, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο;
Κύπριδα μὲν πρῶτα σχεδὸν οὔτασε χεῖρ᾽ ἐπὶ καρπῷ,
αὐτὰρ ἔπειτ᾽ αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος.
ὣς εἰπὼν αὐτὸς μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ,
Τρῳὰς δὲ στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών,
εἰδόμενος Ἀκάμαντι θοῷ ἡγήτορι Θρῃκῶν·
υἱάσι δὲ Πριάμοιο διοτρεφέεσσι κέλευεν·
ὦ υἱεῖς Πριάμοιο, διοτρεφέος βασιλῆος,
ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν Ἀχαιοῖς;

---

V. l. 449 ὃ ACDGHLMNO. — 450 τ᾽ omitt. LN. τε A. ἴκελον ACDGHLN. τεύχεσι τοῖο G Mor. — 451 ἂρ ADGLMNO. τρῷες GL. — 452 δηίουν DHNO Lips. ἀλλήλους Zonar. Lex. 502. στήθεσι G. στήθεσφι D Vrat. b. — 453 ἐϋκύκλους C. — 454 προσηῦδα DG. — 455 ἆρες ἄρες C. ἆρες bis M. ἄρες bis DNO. — 456 δὴ omitt. A. τόνδ᾽: τὸν E. — 457 μάχοιτο: μάχηται Vrat. b. conf. 407. — 458 πρῶτα ACDEGHLM Barocc.: πρῶτον NO, cf. 883. — 460 μὲν omitt. O Flor. Rom. — 461 τρῳὰς G Cram. Epim. 442, 15. τρωἅς D 2. man. NO Mor. Harl. τρωΐας C. τρῶας D 1. man. E Schol. Υ 44. Lesbonax περὶ σχημάτων 183. τρώων AHMS. τρῴων L. διττὴ φέρεται γραφὴ τοῦ πρώτου ποδός· ἢ γὰρ κτητικῶς Τρῳὰς ὀξυτόνως λέγει τὰς Τρωικάς, ἢ μᾶλλον προπερισπωμένως Τρῶας στίχας Eust. 571, 17. τινὲς γράφουσι „Τρῳὰς δὲ στίχος ἠλὸς Ἄρης ὤτρυνεν“ Cram. Epim. 442, 15. γρ. τρώων O. — 462 θρακῶν G. — 463 υἷασι DO. υἱέσι LN. διοτροφέεσσι G. κέλευσεν ACGLNO Cant. Lips. Townl. Vrat. a. b. c. Mosc. 1. — 464 διοτροφέος GHO. — 465 εἰς τί A. ἐάσατε Cant. Et. Mg. 382, 10. ἀχαιῶν CM.

---

A. c. 455 ἀρές Ixion, conf. 31. — 461 Τρῳας Antimachus, Sinopensis, Cypria: Τρῶας Ptolemaeus Ascalonita, ἡ κοινή. tertia scriptura nec Nicanori neque Eustathio cognita erat, nam Τρώων est glossema ut ex scholio Nicanoris colligo ἵν᾽ ᾖ Τρῶας ἀντὶ τοῦ Τρώων. οὖλος, conf. Herod. ad K 134. — 465 ἐς τί ἔτι: ἐστίετι Ptolem. Ascalonita, conf. Et. Mg. 382, 10.

ἢ εἰϲ ὅ κεν ἀμφὶ πύλῃϲ εὖ ποιητῇϲι μάχωνται;
κεῖται ἀνήρ, ὅν τ' ἶϲον ἐτίομεν Ἕκτορι δίῳ,
Αἰνείαϲ, υἱὸϲ μεγαλήτοροϲ Ἀγχίϲαο.
ἀλλ' ἄγετ' ἐκ φλοίϲβοιο ϲαώϲομεν ἐϲθλὸν ἑταῖρον.
ὣϲ εἰπὼν ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου.
ἔνθ' αὖ Ϲαρπηδὼν μάλα νείκεϲεν Ἕκτορα δῖον·
Ἕκτορ, πῇ δή τοι μένοϲ οἴχεται, ὃ πρὶν ἔχεϲκεϲ;
φῇϲ που ἄτερ λαῶν πόλιν ἑξέμεν ἠδ' ἐπικούρων
οἶοϲ ϲὺν γαμβροῖϲι καϲιγνήτοιϲί τε ϲοῖϲι.
τῶν νῦν οὔ τιν' ἐγὼν ἰδέειν δύναμ' οὐδὲ νοῆϲαι,
ἀλλὰ καταπτώϲϲουϲι κύνεϲ ὣϲ ἀμφὶ λέοντα·
ἡμεῖϲ δ' αὖ μαχόμεϲθ', οἵ πέρ τ' ἐπίκουροι ἔνειμεν.
καὶ γὰρ ἐγὼν ἐπίκουροϲ ἐὼν μάλα τηλόθεν ἵκω·
τηλοῦ γὰρ Λυκίη, Ξάνθῳ ἔπι δινήεντι,
ἔνθ' ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱόν,
κὰδ δὲ κτήματα πολλά, τά τ' ἔλδεται, ὅϲ κ' ἐπιδευήϲ.
ἀλλὰ καὶ ὣϲ Λυκίουϲ ὀτρύνω καὶ μέμον' αὐτὸϲ

---

V. l. 466 ἢ L: ceteri ἤ. εἰϲ ὅ κεν M. ἐϲόκεν L. εἰϲόκ' AN. ceteri εἰϲόκεν. πύλαιϲ EG. πύληϲ N. πύλῃϲιν DH. εὖ ποιητῇϲι DGL. εὐποιητῇϲι A. εὐποιήτῃϲι CH Schol. Π 636. εὖ ποιητοῖϲι O Harl. Townl. εὐποιήτοιϲι MN Vrat. b. — 467 ὅν τ': ὃν Eust. 580, 16. — 468 post hunc in H et Vrat. b. insertus est versus „εὔχεται ἐκγεγάμεν μήτηρ δέ οἱ ἔϲτ' ἀφροδίτη", qui legitur Ε 248. — 469 φλοίϲβου CG. — 470 ὄτρυνε Vrat. b. — 471 νείκεϲϲεν M. — 472 πῆ DEHMO. πῆ ACL. ποῖ N Vrat. b. Mosc. 1. — 473 φῆϲ CDEH 1. man. Schol. BL. φῄϲ vel φῂϲ AGH ex corr. LMNOS Cram. Epim. 432, 29. — 474 γαβροῖϲι G. ϲυγαμβροῖϲι D. καϲιγνήτεϲϲί N. ϲοῖϲι ACDEGHMNO. — 475 ἐγὼν ACDEHLN: ἐγὼ GMO. δύναμαι DGHO. οὔτε νοῆϲαι H. — 477 δ' αὖ: δὲ GM Lips. Harl. Mosc. Schol. Β 131. τὲ C, conf. ad Ο 478. οἵ πέρ CD, ceteri οἵπερ. τ' omitt. N. — 478 * ἵκω: libri ἥκω. — 479 ἔπι Io. Alexandr. 26, 32. Et. Mg. 342, 12. Et. Gud. 189, 41: ἐπὶ ACDEGLMNO Io. Alexandr. 4, 3. Cram. Epim. 154, 19. Schol. Β 839. ἐπϊ H. — 481 καδδὲ CDEGHLMNO Cram. Epim. 364, 2. τὰ δ' S. ὅϲ κ': ὅϲ τ' CHMOS. ὃϲ L. ἐπιδεύει O. — 482 ὥϲ O: ceteri ὣϲ.

---

A. c. 466 ποιητοῖϲι δὲ Ἀρίϲταρχοϲ, Ζηνόδοτοϲ δὲ ποιητῇϲι Schol. LV. τὸ εὖ οὐ θέλουϲι κατ' ἰδίαν προφέρεϲθαι, ἐπεὶ καὶ ἐν ἑτέροιϲ φηϲὶ τὴν δοτικὴν „εὐποιήτῃϲι πύλῃϲι" παρωνύμωϲ. κἀγὼ δὲ ϲυγκατατίθεμαι Herodianus ad Π 636. conf. Lobeck. Paralip. 497. Grashof. „das Hausgeräthe bei Homer" pg. 11, not. 11. — 473 φῆϲ: Ἀρίϲταρχοϲ περιϲπᾷ καὶ τὸ ῑ οὐ γράφει. λέγει γὰρ ἐὰν εἶχε τὸ ῑ, ἐνεϲτὼϲ ὤφελλεν εἶναι Zonar. Lex. 1805. conf. Herod. ad Ρ 174. Eust. 1578, 18. H. U. 192. — 477 ἔνειμεν: οὕτωϲ αἱ Ἀριϲτάρχου, conf. Didym. ad Β 131. — 478 ἵκω, non ἥκω, poëtam usum esse veteres tradiderunt, conf. H. T. 288.

ἀνδρὶ μαχήσασθαι· ἀτὰρ οὔ τί μοι ἐνθάδε τοῖον,
οἷόν κ᾽ ἠὲ φέροιεν Ἀχαιοὶ ἤ κεν ἄγοιεν·
τύνη δ᾽ ἕστηκας, ἀτὰρ οὐδ᾽ ἄλλοισι κελεύεις
λαοῖσιν μενέμεν καὶ ἀμυνέμεναι ὤρεσσι.
μή πως, ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου,
ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε·
οἳ δὲ τάχ᾽ ἐκπέρσους᾽ εὖ ναιομένην πόλιν ὑμήν.
σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτάς τε καὶ ἦμαρ,
ἀρχοὺς λισσομένῳ τηλεκλειτῶν ἐπικούρων
νωλεμέως ἐχέμεν, κρατερὴν δ᾽ ἀποθέσθαι ἐνιπήν.
ὣς φάτο Σαρπηδών, δάκε δὲ φρένας Ἕκτορι μῦθος.
αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἳ δ᾽ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν·
Ἀργεῖοι δ᾽ ὑπέμειναν ἀολλέες οὐδὲ φόβηθεν.

---

V. L. 483 μαχέσσασθαι ADS. μαχέσασθαι CGNO. μαχέσθαι H. οὔ τί: οὔτι libri. — 484 οἷόν κ᾽: οἷον E 574, 1. οἷον ἄν E 572, 25. ἤ κ᾽ ἄγοιεν H. — 485 ἔστηκας DM. — 486 λαοῖσι ACDEGHMNO. ὤρεσσι ACGMNO. — 487 ἀψίσι DGH. ἀψῖσιν A. ἁψῖσι O. ἁλόντες E. λίνοιο ἑλόντε Et. Mg. 183, 32. — 488 ἀνδρᾶσι D. κῦρμα ADHN. γένοισθε C. — 459 οἱ AC. ἐκπέρσουσιν AD. ἐκπέρσωσιν M. ἐκπέρσωσ᾽ C Harl. Mosc. 2. εὖ ναιομένην ACDEGLO. εὐναιομένην HMN. ὑμήν: ὑμῖν OS Lips. — 490 καὶ σὲ χρὴ Et. Gud. 386, 39. μέλλειν HM. νύκτάς τε M. νύκτας τὲ C. ἧμαρ D. — — 491 λισσόμενοι (ω suprascr.) D. τηλεκλειτῶν DLS Lips. 1. man. Cant. Townl. Vrat. b. c. τηλεκλητῶν ACGNO. τηλεκλητῶν τ᾽ M. τηλεκλειτῶν γ᾽ H. τηλεκλυτῶν Schol. M 49. — 492 κρατερὴν CDEGM Et. Mg. 126, 23: χαλεπὴν AHLNOS Cant. Vrat. a. b. Schol. Θ 523. — 493 φᾶτο D. — 494 ἄλτο AM. ἇλτο C. χαμάζε ACDGHLMNO. — 496 μαχέεσθαι L. — 497 οἵδ᾽ ACHLMNO. — 498 οὐδὲ φόβηθεν ACH 2. man. MNOS Vrat. c. Mosc. 1.

---

A. c. 483 μαχήσασθαι Aristarchus, conf. ad A 298, 304, B 377, Γ 290. — 487 ἀψῖσι: ψιλωτέον τὸ ἀψῖσι εἰς ἰδιότητα Schol. BLV. φασὶ δὲ τὰ σχόλια δέον εἶναι βαρύνεσθαι τὸ ἄψίς ὡς Αἰολικόν. λέγουσι δὲ ὅτι ψιλοῦται τὸ ᾱ παραλόγως ἐνταῦθα Schol. D. conf. Eust. 574, 21. haesitabant viri docti in duali ἁλόντε, cuius prima syllaba hoc loco praeter consuetudinem poëtae producitur. hanc anomaliam facili coniectura „λίνου πανάγροιο ἁλόντες“ sanavit Bentleius, sed neque Heynius, qui Bentleium verum vidisse sibi persuasum habet, nec recentiores eam receperunt, nam dualis librorum et scholiorum consensu firmatur. quodsi emendatione esset opus, posses cum etymologico λίνοιο scribere, sed in vulgata mihi acquiescendum esse putavi. alii alia tentaverunt, in his Clarkius „λίνου που ἁλόντε“, Bothius „λίνου ἀλύοντε“, Axtius coniect. Hom. (1860) pg. 5 „ὡς πανάγροιο λίνου ἀψῖσιν ἁλόντες“.

ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλῳὰς
ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ
κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας·
αἳ δ' ὑπολευκαίνονται ἀχυρμιαί· ὣς τότ' Ἀχαιοὶ
λευκοὶ ὕπερθε γένοντο κονισάλῳ, ὅν ῥα δι' αὐτῶν
οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων,
ἂψ ἐπιμισγομένων· ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες.
οἳ δὲ μένος χειρῶν ἰθὺς φέρον. ἀμφὶ δὲ νύκτα
θοῦρος Ἄρης ἐκάλυψε μάχῃ Τρώεσσιν ἀρήγων,
πάντος' ἐποιχόμενος· τοῦ δ' ἐκραίαινεν ἐφετμὰς
Φοίβου Ἀπόλλωνος χρυσαόρου, ὅς μιν ἀνώγει
Τρωσὶν θυμὸν ἐγεῖραι, ἐπεὶ ἴδε Παλλάδ' Ἀθήνην
οἰχομένην· ἣ γάρ ῥα πέλεν Δαναοῖσιν ἀρηγών.
 αὐτὸς δ' Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο
ἧκε, καὶ ἐν στήθεσσι μένος βάλε ποιμένι λαῶν.
Αἰνείας δ' ἑτάροισι μεθίστατο· τοὶ δὲ χάρησαν,
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα
καὶ μένος ἐσθλὸν ἔχοντα· μετάλλησάν γε μὲν οὔ τι.
οὐ γὰρ ἔα πόνος ἄλλος, ὃν ἀργυρότοξος ἔγειρεν
Ἄρης τε βροτολοιγὸς Ἔρις τ' ἄμοτον μεμαυῖα.
 τοὺς δ' Αἴαντε δύω καὶ Ὀδυσσεὺς καὶ Διομήδης
ὤτρυνον Δαναοὺς πολεμιζέμεν· οἳ δὲ καὶ αὐτοὶ

---

V. l. 499 ἀλῳὰς Townl., ceteri ἀλωὰς. — 500 τε omitt. G. τὲ H. — 501 κρίνῃ AH post ras. MO: κρίνει CDELN Et. Mg. 181, 52. Zonar. Lex. 362; 1254. κρίνοι G. — 502 αἵδ' CLMNO. ὑπολευκαίνοντο L. — 503 ὕπερθ' ἐγένοντο GLMN Vrat. c. Mosc. 1. κονισάλῳ CDEGH Lips. Vrat.: κονισσάλῳ ALMNO Heraclides Alleg. c. 10. ὃν ῥὰ GHL. — 505 ὕπο CD. — 506 οἳ δὲ C. — 507 τρῴεσσιν GL. — 508 ἐκρέαινεν D 2. man. ἐκράαινεν L. δὲ κραίαινεν M. — 510 τρωσὶ DHN Schol. Θ 2. τρῳσὶ G. τρῳσὶν L. ἐγεῖραι: ἀγεῖραι E 577, 13. Schol. Θ 2. ἰστέον δὲ ὅτι τὰ πλείω τῶν ἀντιγράφων οὐκ ἀγεῖραι γράφουσιν, ἀλλὰ „Τρωσὶ θυμὸν ἐγεῖραι“ Eust. 577, 17. — 511 ἢ CDHLMO. γὰρ ῥὰ HL. πέλε GO. ἀρήγων M.[s] ἀρηγός CDN. — 513 στήθεσι GM. — 514 μεθ' ἵστατο A. τοί: οἱ E. οἳ M. * δὲ χάρησαν: libri δ' ἐχάρησαν. — 516 οὔ τι: οὐδέν D. — 518 τὲ CDNO. — 520 ὤτρυναν Mosc. 2. πολεμίζειν E. οἳ δὲ C. ἠδὲ Harl. Townl. Mosc. 1.

---

A. c. 499 τὸ ἀλωάς μετὰ προσγεγραμμένου ῑ γράφουσιν οἱ παλαιοί Cram. An. Par. III, 211, 9, conf. H. U. 212. — 500 Πτολεμαῖος τοὺς δωδεκασυλλάβους στίχους ἐκτιθείς φησι καὶ τοῦτον οὕτω γράφεσθαι „εὖτ' ἂν ξανθὴ Δητήτηρ“ Schol. LV. — 502 κατ' ὀξεῖαν δὲ τὸ ἀχυρμιαί Schol. BL. — 511 ἀρηγών: Ἀρίσταρχος ὀξυτόνως Schol. V.

οὔτε βίας Τρώων ὑπεδείδισαν οὔτε ἰωκάς,
ἀλλ᾽ ἔμενον νεφέλῃσιν ἐοικότες, ἅς τε Κρονίων
νηνεμίης ἔστησεν ἐπ᾽ ἀκροπόλοισιν ὄρεσσιν
ἀτρέμας, ὄφρ᾽ εὕδῃσι μένος βορέαο καὶ ἄλλων
ζαχρειῶν ἀνέμων, οἵ τε νέφεα σκιόεντα
πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν ἀέντες·
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο.
Ἀτρείδης δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα πολλὰ κελεύων·
    ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε,
ἀλλήλους τ᾽ αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.
αἰδομένων δ᾽ ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
φευγόντων δ᾽ οὔτ᾽ ἂρ κλέος ὄρνυται οὔτέ τις ἀλκή.
    ἦ, καὶ ἀκόντισε δουρὶ θοῶς, βάλε δὲ πρόμον ἄνδρα,
Αἰνείω ἕταρον μεγαθύμου, Δηικόωντα
Περγασίδην, ὃν Τρῶες ὁμῶς Πριάμοιο τέκεσσι
τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι.
τόν ῥα κατ᾽ ἀσπίδα δουρὶ βάλε κρείων Ἀγαμέμνων·
ἣ δ᾽ οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκός,
νειαίρῃ δ᾽ ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσε.
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
    ἔνθ᾽ αὖτ᾽ Αἰνείας Δαναῶν ἕλεν ἄνδρας ἀρίστους,

---

V. l. 521 τρῴων G. ὑποδείδισαν Rhet. Gr. III, 130, 6. ἰωκάς: ἰωὰς O. — 523 ὄρεσιν E. — 525 ζαχρειῶν ACDEGHLMNOS Apoll. Lex. 81, 1. Et. Mg. 389, 34. Zonar. Lex. 906. ζαχρειῶν et ζαχρηῶν Hesych. II, 254. — 526 πνοιῇσι CDEGHNO Lips. Schol. O 171. διασκίδνασιν N Apoll. Lex. 10, 4. διασκέδασθεν Et. Mg. 20, 30. διασκίδνησιν Schol. O 171. — 527 τρῷας G. οὐδὲ φέβοντο CH 1. man. N Vrat. a. b.: ceteri οὐδ᾽ ἐφέβοντο. — 528 πολλὰ ἢ μακρὰ Eust. 579, 35. — 529 ἔστε GMO Et. Mg. 381, 58: ἐστὲ ACDEHLN Et. Mg. 107, 43. — 530 τ᾽ omitt. L. — 531 αἰδομένων δ᾽ ACDEHMNOS Cant. Harl. Schol. Soph. Ai. 676, 1079. Schol. Pind. Nem. IX, 85. Apoll. Lex. 15, 7. Eust. 654, 38. δ᾽ omittunt GL. — 532 ὤ(ο)ρνυται C. οὔτέ τις ACGHLMN. — 534 Αἰνείω Schol. B 461: αἰνείεω ACDGHLMN. αἰνείαο O. Δηικόωντα: δημοκόωντα CH Vrat. b. Schol. E 326. — 535 τρῷες GL. τέκεσσι ACDHMNO Schol. E 326. τεκέεσσι G. — 537 τὸν ῥὰ DL. — 538 ἤδ᾽ ACDGHLMNO. διὰ πρὸ MO. διὰ προδεείσατο D. χαλκὸς ALO Vrat. b. in marg. Barocc.: καὶ τῆς CDGHMN, ut Δ 138. praestat χαλκός, conf. P 518, ω 524. — 539 ἐγγαστρὶ Apoll. Lex. 115, 10. ἔλασσε ACDGHNO. — 540 δούπησε DO. δὲ πεσών: ἤριπε δὲ πρηνὴς M Harl. Mosc. 1. ἐπαυτῶ M.

---

A. c. 531 αἰδομένων δ᾽ ἀνδρῶν: αἰδομένων ἀνδρῶν Aristarchus, vide Didym. ad O 563. — 534 Αἰνείω, ut Ἑρμείω O 214, Βορέω Ξ 395, Ψ 692, ξ 533, Ἀσίω B 461, ἐυμμελίω Δ 47, 165, Z 449.

υἷε Διοκλῆοϲ, Κρήθωνά τε Ὀρϲίλοχόν τε,
τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐυκτιμένῃ ἐνὶ Φηρῇ
ἀφνειὸϲ βιότοιο, γένοϲ δ᾽ ἦν ἐκ ποταμοῖο
Ἀλφειοῦ, ὅϲ τ᾽ εὐρὺ ῥέει Πυλίων διὰ γαίηϲ,
ὃϲ τέκετ᾽ Ὀρϲίλοχον πολέεϲϲ᾽ ἄνδρεϲϲιν ἄνακτα·
Ὀρϲίλοχοϲ δ᾽ ἄρ᾽ ἔτικτε Διοκλῆα μεγάθυμον,
ἐκ δὲ Διοκλῆοϲ διδυμάονε παῖδε γενέϲθην,
Κρήθων Ὀρϲίλοχόϲ τε μάχηϲ εὖ εἰδότε πάϲηϲ.
τὼ μὲν ἄρ᾽ ἡβήϲαντε μελαινάων ἐπὶ νηῶν
Ἴλιον εἰϲ εὔπωλον ἅμ᾽ Ἀργείοιϲιν ἑπέϲθην,
τιμὴν Ἀτρείδηϲ, Ἀγαμέμνονι καὶ Μενελάῳ,
ἀρνυμένω· τὼ δ᾽ αὖθι τέλοϲ θανάτοιο κάλυψεν.
οἵω τώ γε λέοντε δύω ὄρεοϲ κορυφῇϲιν
ἐτραφέτην ὑπὸ μητρὶ βαθείηϲ τάρφεϲιν ὕληϲ·
τὼ μὲν ἄρ᾽ ἁρπάζοντε βόαϲ καὶ ἴφια μῆλα
ϲταθμοὺϲ ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ
ἀνδρῶν ἐν παλάμῃϲι κατέκταθεν ὀξέι χαλκῷ·
τοίω τὼ χείρεϲϲιν ὑπ᾽ Αἰνείαο δαμέντε
καππεϲέτην, ἐλάτῃϲιν ἐοικότεϲ ὑψηλῇϲι.
τὼ δὲ πεϲόντ᾽ ἐλέηϲεν ἀρηίφιλοϲ Μενέλαοϲ,
βῆ δὲ διὰ προμάχων κεκορυθμένοϲ αἴθοπι χαλκῷ,
ϲείων ἐγχείην· τοῦ δ᾽ ὤτρυνεν μένοϲ Ἄρηϲ,
τὰ φρονέων, ἵνα χερϲὶν ὑπ᾽ Αἰνείαο δαμείη.
τὸν δ᾽ ἴδεν Ἀντίλοχοϲ, μεγαθύμου Νέϲτοροϲ υἱόϲ,

---

V. L. 542 κρίθωνά D. — 543 ῥὰ LMN. ἐϋκτημένη D. φηρῇ: φῦρη H. φορῇ NO. — 545 ὅϲ τ᾽: δϲ E. — 546 τέκεν Mosc. 2. τέκ᾽ H. ὀρϲί- (τ supra ϲ) λοχον D. ὀρτίλοχον Townl. πολέεϲϲϊν C. πολέεϲϊν (ϲ infra) G. πολέεϲϲί δ᾽ H. — 547 ἂρ ADGHMNO. — 548 διδυμάωνε G. παῖδεϲ H. 1. man. — 550 ἂρ ADGMNO. ἡβήϲαντεϲ M. βήϲαντε O. — 551 εἰϲ: ἐϲ O. — 552 ἀτρείδηϲ᾽ GHLMNO. — 556 ἂρ ADGLMNO. — 557 ϲταθμούϲ τ᾽ N. αὐτὼ: αὐτοὶ EN. — 559 τοίῳ H. τὼ: τοὶ O. χείρεϲιν O. δαμέντεϲ Mor. Barocc. — 560 ἐοικότε L Mosc. 1. ὑψηλῇϲι AEHMNO. ὑψηλοῖϲϊ C. — 561 ἀρηίφιλοϲ, non βοὴν ἀγαθόϲ, libri mei cum Mor. Cant. Barocc. Vrat. a. b. Mosc. 1. — 563 τοῦ: τῷ Mosc. 1. ὤτρυνε DGNO Lips.

---

Ἀ. c. 543 Φηρῇ: τὸ Φηρῇ περιϲπᾶται κατὰ τὴν παράδοϲιν· ἡ μέντοι ἀναλογία ἠξίου βαρύνεϲθαι Et. Mg. 791, 45. παραλόγωϲ δὲ ἡ Φηρὰ κατὰ τοὺϲ παλαιοὺϲ ὀξύνεται, ὡϲ οὕτω τετριμμένη τῇ παραδόϲει Eust. 580, 43. — 549 (542) Ὀρϲίλοχοϲ: Ὀρτίλοχοϲ Zenodotus teste Schol. HQ ad γ 489. conf. Schol. LV ad 542 ὁ πρόγονοϲ διὰ τοῦ τ̄, ὁ παῖϲ διὰ τοῦ ϲ̄. — 555 τάρφεϲιν Herodianus: ταρφέϲιν Tyrannio, conf. Herod. ad O 606. — 560 δυϊκῶϲ τὸ ἐοικότεϲ Ἀρίϲταρχοϲ Schol. V.

βῆ δὲ διὰ προμάχων· περὶ γὰρ δίε ποιμένι λαῶν
μή τι πάθοι, μέγα δέ σφας ἀποσφήλειε πόνοιο.
τὼ μὲν δὴ χεῖράς τε καὶ ἔγχεα ὀξυόεντα
ἀντίον ἀλλήλων ἐχέτην μεμαῶτε μάχεσθαι·
Ἀντίλοχος δὲ μάλ' ἄγχι παρίστατο ποιμένι λαῶν.
Αἰνείας δ' οὐ μεῖνε θοός περ ἐὼν πολεμιστής,
ὡς εἶδεν δύο φῶτε παρ' ἀλλήλοισι μένοντε.
οἳ δ' ἐπεὶ οὖν νεκροὺς ἔρυσαν μετὰ λαὸν Ἀχαιῶν,
τὼ μὲν ἄρα δειλὼ βαλέτην ἐν χερσὶν ἑταίρων,
αὐτὼ δὲ στρεφθέντε μετὰ πρώτοισι μαχέσθην.
ἔνθα Πυλαιμένεα ἑλέτην ἀτάλαντον Ἄρηι,
ἀρχὸν Παφλαγόνων μεγαθύμων, ἀσπιστάων·
τὸν μὲν ἄρ' Ἀτρείδης δουρὶ κλειτὸς Μενέλαος
ἑσταότ' ἔγχεϊ νύξε κατὰ κληῖδα τυχήσας·
Ἀντίλοχος δὲ Μύδωνα βάλ', ἡνίοχον θεράποντα,
ἐσθλὸν Ἀτυμνιάδην, ὃ δ' ὑπέστρεφε μώνυχας ἵππους,
χερμαδίῳ ἀγκῶνα τυχὼν μέσον· ἐκ δ' ἄρα χειρῶν
ἡνία λεύκ' ἐλέφαντι χαμαὶ πέσον ἐν κονίῃσιν.
Ἀντίλοχος δ' ἄρ' ἐπαΐξας ξίφει ἤλασε κόρσην·
αὐτὰρ ὅ γ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου
κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους.
δηθὰ μάλ' ἑστήκει, τύχε γάρ ῥ' ἀμάθοιο βαθείης,
ὄφρ' ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃσι,

V. L. 566 περὶ HLNO Schol. O 568, X 251. Et. Mg. 273, 10. πέρι AGM. περι CD. παρὰ Zonar. Lex. 544. δῖε CM. ποιμένα Zonar. Lex. 544. — 567 πάθοι LO: πάθῃ ACDEGHMNS et Heynii libri. Schol. O 568. Zonar. Lex. 544. δέ σφας GHLMO Mor. Vrat. a. Apoll. de Pron. 127 C. Et. Mg. 128, 22: δέ σφεας ACDEN. δὲ σφέας Zon. Lex. 270. — 568 ὀξιόεντα S. — 571 μεῖναι GM. — 572 εἶδε EMO. ἴδε A. δύω AGM. — 573 οἳ δ' ADL: οἵδ' CHMNO. — 575 στραφθέντε M. στραφέντε O et γρ. στρεφθέντε. — 578 τὼ μὲν M. ἂρ AGM. δουρικλυτὸς ACDGMN. — 579 κατα A. παρὰ Harl. Townl. κλῃῖδα DGMNO. — 581 ὃ δ' ADMNO. ὅδ' CGHL. — 582 χειρὸς Vrat. A. — 583 πέσον: πέσεν L. κονίῃσι D. — 584 ἂρ AGDMO. ἄρ' omitt. LN. κόρσϊν G. — 586 κονίῃσι M. ἐπι D. βρε$^{\gamma}$χμόν A. βρεγμόν N Cant. βρεγχμόν S. — 587 εἱστήκει ACDEGHLMNOS Schol. Z 201. γάρ ῥ' ἀμάθοιο ACD 1. man. E Lips. Schol. I 593. γὰρ ἀμάθοιο MNO Vrat. a. Mosc. 1. 3. a prim. man. Apoll. Lex. 27, 10. Ammon. de Diff. s. v. ψάμαθος. δ' ἂρ ἀμάθοιο G. γὰρ ψαμάθοιο D 2. man. HL. — 588 κονίῃσι CDHMNO.

A. c. 567 σφας: συσταλτέον διὰ τὸ μέτρον Schol. NV. — 587 ἑστήκει, non εἱστήκει, Aristarchus.

τοὺς ἵμας' Ἀντίλοχος, μετὰ δὲ στρατὸν ἤλας' Ἀχαιῶν.
τοὺς δ' Ἕκτωρ ἐνόησε κατὰ στίχας, ὦρτο δ' ἐπ' αὐτοὺς
κεκληγώς· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες
καρτεραί· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ,
ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηιοτῆτος,
Ἄρης δ' ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα,
φοίτα δ' ἄλλοτε μὲν πρόσθ' Ἕκτορος, ἄλλοτ' ὄπισθε.
τὸν δὲ ἰδὼν ῥίγησε βοὴν ἀγαθὸς Διομήδης.
ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος, ἰὼν πολέος πεδίοιο,
στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ ἅλα δὲ προρέοντι,
ἀφρῷ μορμύροντα ἰδών, ἀνά τ' ἔδραμ' ὀπίσσω,
ὣς τότε Τυδείδης ἀνεχάζετο, εἶπέ τε λαῷ·
ὦ φίλοι, οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν·
τῷ δ' αἰεὶ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει·
καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης βροτῷ ἀνδρὶ ἐοικώς.
ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω
εἴκετε, μὴ δὲ θεοῖς μενεαινέμεν ἶφι μάχεσθαι.
ὣς ἄρ' ἔφη, Τρῶες δὲ μάλα σχεδὸν ἤλυθον αὐτῶν.
ἔνθ' Ἕκτωρ δύο φῶτε κατέκτανεν εἰδότε χάρμης,
εἰν ἑνὶ δίφρῳ ἐόντε, Μενέσθην Ἀγχίαλόν τε.
τὼ δὲ πεσόντ' ἐλέησε μέγας Τελαμώνιος Αἴας·
στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
καὶ βάλεν Ἄμφιον, Σελάγου υἱόν, ὅς ῥ' ἐνὶ Παισῷ

V. L. 589 τοὺς ἵμας' ACDGHLMNOS Harl.: vulgo τοὺς δ' ἵμας', quod cum ne unus quidem ex libris meis exhibeat, neque paraphrastes apud Bekkerum agnoscat, meram coniecturam esse iudico — 591 τρώων GL. — 592 κρατεραὶ CGHMN Lips. σφὶν G. — 595 ὄπισθε ACDH: ὄπισθεν EGLMNO. — 596 τόνδε G. τοὺς δὲ M. Harl. ῥίγησεν D. — 597 στήῃ CO Et. Mg. 73, 47. Zonar. Lex. 139. στήη D. στηη L. — 598 ὠκυρρόω N. ἅλα δὲ DH. — 599 ὀπίσω Apoll. Lex. 30, 15. — 600 ἀναχάζετο S. εἶπε δὲ L. εἶπε τὲ N. — 602 ἔμμεναι N. — 604 Ἄρης: ἀνὴρ Cram. Epim. 223, 25; 248, 30. — 605 τρῷας GL. — 606 μὴ δὲ ACDHLMNO: vulgo μηδὲ. μενεαινέμεν G. — 607 ἂρ DM. ἄ(α)ρ O. τρῷες GL. — 608 δύω DGHNO. — 609 ἐγχίαλόν τε O. — 610 τώδε G. — 612 ὅς ῥ': ὅς γ' O. παισσῷ G. πεσσῶ L. Παίσῳ Zonar. Lex. 247.

A. c. 597 στήῃ, conf. H. U. 198. — 605 μενεαινέμεν: μενεαίνετε Ahrens. de hiat. Hom. leg. quibusdam generibus pg. 31. conf. Γ 459. — 609 Aristarchus Μενεσθῆν, alii Μενέστην διὰ τοῦ τ. τὸ δὲ Ἀγχίαλον ψιλωτέον· κύριον γὰρ Schol. LV. conf. H. T. 416. — 612 Παισῷ Strabo XIII, 589. Herodianus ad B 828. Et. Mg. 119, 33.

ναῖε πολυκτήμων πολυλήιος· ἀλλά ἑ μοῖρα
ἦγ' ἐπικουρήσοντα μετὰ Πρίαμόν τε καὶ υἷας.
τόν ῥα κατὰ ζωστῆρα βάλεν Τελαμώνιος Αἴας,
νειαίρῃ δ' ἐν γαστρὶ πάγη δολιχόσκιον ἔγχος,
δούπησεν δὲ πεσών. ὃ δ' ἐπέδραμε φαίδιμος Αἴας
τεύχεα συλήσων· Τρῶες δ' ἐπὶ δούρατ' ἔχευαν
ὀξέα, παμφανόωντα· σάκος δ' ἀνεδέξατο πολλά.
αὐτὰρ ὃ λὰξ προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος
ἐσπάσατ'· οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλὰ
ὤμοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσι.
δεῖσε δ' ὅ γ' ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων,
οἳ πολλοί τε καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε' ἔχοντες,
οἵ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν
ὦσαν ἀπὸ σφείων· ὃ δὲ χασσάμενος πελεμίχθη.
ὣς οἳ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην·
Τληπόλεμον δ' Ἡρακλείδην, ἠύν τε μέγαν τε,
ὦρσεν ἐπ' ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
υἱός θ' υἱωνός τε Διὸς νεφεληγερέταο,
τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔειπε·
Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
πτώσσειν ἐνθάδ' ἐόντι μάχης ἀδαήμονι φωτί;
ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν,
οἳ Διὸς ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων,

V. l. 613 πολυκτήμων πολυλήϊος C. — 614 ἧκ' ἐπϊκουρήσοντα C. — 615 ῥὰ DGL. κατα H. βάλε O. — 616 πάγεν L. — 617 δούπησε MNO. ὃδ' ADMNO. ὅδ' CG. — 618 τρῷες GL. ἐπι AC. — 620 ὃ ACDGLMNO. προβὰς ACDNO Lips. — 621 ἆρ ADGMN. — 622 βελέεσσι CDEGHNO. — 623 κρατερὴν: κρατερῶν Apoll. Lex. 27, 20. τρῴων GL. — 625 οἵ ἑ: οἳ καὶ A. — 626 ἀπο O. ὃ δὲ CD. χασάμενος EN. πολεμίχθη GL. — 628 ἠύν: αἰῦν M. — 630 οἵδ' ACLMNO. — 632 τόν κε LN. τοῦ δὲ Ammon. de Diff. s. v. πρότερος. πρῶτος Mosc. 1. προς A. ἔειπε CGHMNO. — 633 σαρπηδὼν O. Σαρπήδων Apollon. Lex. 140, 23. — 634 ἐνθάδε ὄντι E. — 635 δέ σε φασὶ CDEGHLMNO. — 636 abhinc codex A a prima manu est scriptus. πολλῶν S. — 637 οἱ A. ἐπι D.

A. c. 630 ἰόντες: ἐν τῇ ἑτέρᾳ ἰόντε κεῖται Schol. L. conf. Schol. Z 121.

ἀλλ' οἷόν τινά φαcι βίην Ἡρακληείην
εἶναι, ἐμὸν πατέρα θραcυμέμνονα θυμολέοντα,
ὅc ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντοc
ἓξ οἴῃc cὺν νηυcὶ καὶ ἀνδράcι παυροτέροιcιν
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωcε δ' ἀγυιάc.
coὶ δὲ κακὸc μὲν θυμόc, ἀποφθινύθουcι δὲ λαοί.
οὐδέ τί cε Τρώεccιν ὀίομαι ἄλκαρ ἔcεcθαι
ἐλθόντ' ἐκ Λυκίηc, οὐδ' εἰ μάλα καρτερόc ἐccι,
ἀλλ' ὑπ' ἐμοὶ δμηθέντα πύλαc Ἀίδαο περήcειν.
  τὸν δ' αὖ Cαρπηδών, Λυκίων ἀγόc, ἀντίον ηὔδα·
Τληπόλεμ', ἦ τοι κεῖνοc ἀπώλεcεν Ἴλιον ἱρὴν
ἀνέροc ἀφραδίῃcιν ἀγαυοῦ Λαομέδοντοc,
ὅc ῥά μιν εὖ ἔρξαντα κακῷ ἠνίπαπε μύθῳ,
οὐδ' ἀπέδωχ' ἵππουc, ὧν εἵνεκα τηλόθεν ἦλθε·
coὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἐξ ἐμέθεν τεύξεcθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα
εὖχοc ἐμοὶ δώcειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.
  ὣc φάτο Cαρπηδών, ὁ δ' ἀνέcχετο μείλινον ἔγχοc
Τληπόλεμοc. καὶ τῶν μὲν ἁμαρτῇ δούρατα μακρὰ
ἐκ χειρῶν ἤιξαν· ὁ μὲν βάλεν αὐχένα μέccoν
Cαρπηδών, αἰχμὴ δὲ διαμπερὲc ἦλθ' ἀλεγεινή·

---

V. l. 638 ἀλλ' οἷον A Ambr. CDEGHLMNOS: ἀλλοῖόν τινα Diodorus IV, 32; 49. τινὰ φαcὶ DGHL. τινα φαcὶ N. τινά φηcϊ M. ἡρακλείην G. — 639 θραcυμήμονα S. — 640 ὃc ποτὲ D. ΩCΠΟΤΕ Ambros. — 641 ΟΙΗC Ambros. οἴῃcιν νηυcὶ D. οἴῃcι νηυcὶ Mosc. 1. — 642 ἐξαλαπάξαι G. δ'ἀγυιάc: γυναῖκαc S in margine. — 644 οὐδέ τϊ cε ACDGLN. ita vel οὐδέ τί cε E Barocc. Vrat. a. b. Mosc. 1. 2. Ambrosianus. οὐδέ τιcϊ M. οὐδ' ἔτι HO. τρῴεccιν GL. οἴομαι H. — 645 κρατερόc CH 1. man. LN. ἐccὶ L. — 646 ἐμοὶ A Ambros. CDHLM Lips. Barocc. Vrat. a. ἐμοῦ GNOS Cram. An. Par. III, 303, 27. — 647 αὖ: ἄρ Mosc. 1. ηὖδα D. — 650 ἔρξαντα GNO 2. man. ῥέξαντα Vrat. a. ἠνείπαπε Lips. — 651 ὧν: τῶν A. ἕνεκα D. ἦλθε A Ambros. CDEGHMNO. — 653 δ' omitt. L. ὕπο A. δαμέντα: δαμέντι N 1. man. O. — 654 ἀίδη N. — 655 ὦc A. ὁ δ' DHMNO ὅδ' CGL. μείλινον: χάλκεον O. — 656 ἁμαρτῇ A Ambros. CGLMN Harl. Mosc. 1. ὁμαρτῇ DEO. ὁμαρτῆ HS. ὁμαρτῇ γράφεται κατά τινα τῶν ἀντιγράφων Eust. 592, 20. — 657 ἤιξαν: ΗΙΞΕΝ Ambros. —

---

A. c. 638 ἀλλ' οἷον Aristarchus, Aristophanes, Heracleo, Philoxenus, Herodianus, Pius: ἀλλοῖον Tyrannio. ἀλλ' οἷον Nicias et Parmeniscus, conf. Schol. δ 242. Ἡρακληείην: Ζηνόδοτοc δὲ καὶ ἀμέτρωc γράφει ἡρακλείην Schol. A. conf. Schol. B 658. — 656 Herodianus et Ptolemaeus ἁμαρτῇ: ἁμαρτὴ Aristarchus, conf. Herod. ad Φ 162. Zonar. Lex. 164. Eustath. 592, 19. — 657 ἤιξαν Aristarchus, conf. Ariston. ὅτι τὰ δόρατα ἤιξαν, H. T. 383 sq.

τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.
Τληπόλεμος δ' ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
βεβλήκειν, αἰχμὴ δὲ διέσσυτο μαιμώωσα,
ὀστέῳ ἐγχριμφθεῖσα, πατὴρ δ' ἔτι λοιγὸν ἄμυνεν.
οἳ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
ἐξέφερον πολέμοιο· βάρυνε δέ μιν δόρυ μακρὸν
ἑλκόμενον. τὸ μὲν οὔ τις ἐπεφράσατ' οὐδὲ νόησε,
μηροῦ ἐξερύσαι δόρυ μείλινον, ὄφρ' ἐπιβαίη,
σπευδόντων· τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες.
Τληπόλεμον δ' ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ
ἐξέφερον πολέμοιο· νόησε δὲ δῖος Ὀδυσσεὺς
τλήμονα θυμὸν ἔχων, μαίμησε δέ οἱ φίλον ἦτορ·
μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
ἢ προτέρω Διὸς υἱὸν ἐριγδούποιο διώκοι,
ἦ ὅ γε τῶν πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο.
οὐδ' ἄρ' Ὀδυσσῆι μεγαλήτορι μόρσιμον ἦεν
ἴφθιμον Διὸς υἱὸν ἀποκτάμεν ὀξέι χαλκῷ·
τῶ ῥα κατὰ πληθὺν Λυκίων τράπε θυμὸν Ἀθήνη.
ἔνθ' ὅ γε Κοίρανον εἷλεν Ἀλάστορά τε Χρομίον τε
Ἄλκανδρόν θ' Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
καί νύ κ' ἔτι πλέονας Λυκίων κτάνε δῖος Ὀδυσσεύς,
εἰ μὴ ἄρ' ὀξὺ νόησε μέγας κορυθαίολος Ἕκτωρ.

V. l. 659 ἐκάλυψε CEGHMNO. — 661 βεβλήκει CDGHLMNOS. βεβλήκει^ν A (ν 2. man. add.). — 662 ἐγχριμφθεῖσα ACGHLNO: ἐγχριφθεῖσα DM Vrat. b. c. Mosc. 3. δ'ἔτι ACEHLMNO Lips. Mosc. 1. 2. δέ τι DGS. δέ τε Vrat. a. ἄμυνε D. ἄμεινεν G. — 663 οἳ μὲν C. ἂρ DGLMNO. ἀρ A. — 664 μακρῷ Harl. — 665 ἐπεφράσσατ' NO. οὐδὲ νόησεν L. οὐδ' ἐνόησε ACDEGMNO. vulgo οὐδ' ἐνόησεν. — 666 ἐπιβαίη AG. — 668 εὐκνήμιδες CDGHM. — 669 δέ μιν δῖος G. — 670 μέμησε O. μαίησε H. — 671 μερμήριζε L Vrat. b. — 672 ἤ: ἢ L. προτέρωι A. ἐριγδούποιο A. διώκει M Lips. 1. man. — 673 ἢ A: ceteri ἤ. ἀπο ACDH. — 674 ἂρ DGLMNO. ἀρ A. — 675 ἀποκτάμεν' LN. — 676 τῶ ACDGMNO. τω L. τῷ H. ῥὰ CLMN. κατα D. τρέπε L Mosc. 2. — 677 χρομίον τε AD: χρόμϊόν τε CEGHLMNO. — 678 τ' ἄλϊόν L. ἀλῖον H. πρίτανίν L. — 679 πλεῖονας N. κτᾶνε D. — 680 ἂρ DGMNO. ἀρ A.

A. c. 661 ἀρίσταρχος μετὰ τοῦ ν̄ βεβλήκειν Didymus, conf. H. T. 194 sq. Annal. Gymn. Austr. 1871, pg. 499. — 665 τὸ μὲν: ἔν τισι τό οἱ οὔτις Schol. A. ἔν τισι τό τοι Schol. L. — 672 προτέρῳ conf. H. U. 186. — 678 Ἅλιον Herodianus: τινὲς δὲ καὶ τὸ Ἅλιος κύριον ἐνταῦθα παροξύνουσι Eust. 593, 34.

βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
δεῖμα φέρων Δαναοῖϲι· χάρη δ' ἄρα οἱ προϲιόντι
Ϲαρπηδών, Διὸϲ υἱόϲ, ἔποϲ δ' ὀλοφυδνὸν ἔειπε·
Πριαμίδη, μὴ δή με ἕλωρ Δαναοῖϲιν ἐάϲῃϲ
κεῖϲθαι, ἀλλ' ἐπάμυνον. ἔπειτά με καὶ λίποι αἰὼν
ἐν πόλει ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἐγώ γε
νοϲτήϲαϲ οἶκον δὲ φίλην ἐϲ πατρίδα γαῖαν
εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
ὣϲ φάτο, τὸν δ' οὔ τι προϲέφη κορυθαίολοϲ Ἕκτωρ,
ἀλλὰ παρήιξεν λελιημένοϲ ὄφρα τάχιϲτα
ὤϲαιτ' Ἀργείουϲ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
οἱ μὲν ἄρ' ἀντίθεον Ϲαρπηδόνα δῖοι ἑταῖροι
εἷϲαν ὑπ' αἰγιόχοιο Διὸϲ περικαλλέι φηγῷ·
ἐκ δ' ἄρα οἱ μηροῦ δόρυ μείλινον ὦϲε θύραζε
ἴφθιμοϲ Πελάγων, ὅϲ οἱ φίλοϲ ἦεν ἑταῖροϲ.
τὸν δ' ἔλιπε ψυχή, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύϲ·
αὖτιϲ δ' ἐμπνύνθη, περὶ δὲ πνοιὴ βορέαο
ζώγρει ἐπιπνείουϲα κακῶϲ κεκαφηότα θυμόν.
Ἀργεῖοι δ' ὑπ' Ἄρηι καὶ Ἕκτορι χαλκοκορυϲτῇ
οὔτέ ποτε προτρέποντο μελαινάων ἐπὶ νηῶν
οὔτέ ποτ' ἀντεφέροντο μάχῃ, ἀλλ' αἰὲν ὀπίϲϲω
χάζονθ', ὡϲ ἐπύθοντο μετὰ Τρώεϲϲιν Ἄρηα.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕϲτατον ἐξενάριξαν

V. L. 683 ἔειπε ACGHMNO. — 684 μὴ δέ NO. ἕλωρ D. — 686 ἡμετέρῃ EM. οὐκ: οὐδ' S Cant. ἄρ DGMNO. ἀρ A. — 687 οἶκον δὲ A. οἶκονδε CDHLMNO. οἴκονδε G. οἰκόνδε E. — 689 ὡϲ A. — 690 παρήϊξε EGLMNO. — 691 ἄπο CL. — 692 οἱ μὲν C. ἄρ DGLMNO. ἀρ A. — 696 δὲ λίπε Vrat. b. — 697 αὖθιϲ CE Schol. X 475. Pseudoplut. 115, 18; 160, 12. ἐμπνύνθη Schol. X 475: libri ἀμπνύνθη. ἀμπνύθη A. ἀμπνύϲθη Townl. γρ. ἀμπνύνθη A. περὶ δ' ἐ G Mor. πνοὴ N Lips. πνοιὴ M. — 698 ζώγρει: ζώει L. κεκαφηῶτα O. — 700 οὔτέ ποτε ACGLMNO. οὐτέ ποτε D. οὐδέποτε H. ἐπὶ: ἀπὸ Ammon. de Diff. s. v. ἀπό. — 701 οὔτέ ποτ' CGLMNO. οὐτέ ποτ' AD. οὐδέποτ' H. ἄντ' ἐφέροντο A. ἀντιφέροντο G. μάχῃ: μάχην L. ὀπίϲω E. — 702 μετα A. τρώεϲϲιν GL. — 703 ἐξενάριξαν ACGM Mor. Barocc. Harl. Lips.: ἐξενάριξεν DEHLNOS Cram. An. Par. III, 278, 16.

A. c. 695 Πελάγων: Ϲελάγων Ptolemaeus Oroandae. — 697 ἔν τιϲι διὰ τοῦ ε ἐμπνύνθη γρ. ita Aristarchum scripsisse testantur Schol. X 475, ε 458. — 700 οὕτωϲ Ἀρίϲταρχοϲ ἀμφότερα διὰ τοῦ ε, προτρέποντο καὶ ἐπὶ νηῶν Didymus: alii προτράποντο et ἀπὸ. — 703 ἀρίϲταρχοϲ διὰ τοῦ α [ἐ]ξενάριξαν Didymus.

῞Εκτωρ τε Πριάμοιο πάϊς καὶ χάλκεος ῎Αρης;
ἀντίθεον Τεύθραντ᾽, ἐπὶ δὲ πλήξιππον ᾽Ορέστην,
Τρῆχόν τ᾽ αἰχμητὴν Αἰτώλιον Οἰνόμαόν τε,
Οἰνοπίδην θ᾽ ῞Ελενον καὶ ᾽Ορέσβιον αἰολομίτρην,
ὅς ῥ᾽ ἐν ῞Υλῃ ναίεσκε μέγα πλούτοιο μεμηλώς,
λίμνῃ κεκλιμένος Κηφισίδι· πὰρ δέ οἱ ἄλλοι
ναῖον Βοιωτοὶ μάλα πίονα δῆμον ἔχοντες.
τοὺς δ᾽ ὡς οὖν ἐνόησε θεὰ λευκώλενος ῞Ηρη
᾽Αργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
αὐτίκ᾽ ᾽Αθηναίην ἔπεα πτερόεντα προσηύδα·
ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
ἦ ῥ᾽ ἅλιον τὸν μῦθον ὑπέστημεν Μενελάῳ,
῎Ιλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι,
εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον ῎Αρηα.
ἀλλ᾽ ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ γλαυκῶπις ᾽Αθήνη.
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
῞Ηρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
῞Ηβη δ᾽ ἀμφ᾽ ὀχέεσσι θοῶς βάλε καμπύλα κύκλα,
χάλκεα ὀκτάκνημα, σιδηρέῳ ἄξονι ἀμφίς.
τῶν ἤ τοι χρυσέη ἴτυς ἄφθιτος, αὐτὰρ ὕπερθε
χάλκε᾽ ἐπίσσωτρα προσαρηρότα, θαῦμα ἰδέσθαι·
πλῆμναι δ᾽ ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν.
δίφρος δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσιν

---

V. l. 704 ἕκτωρ τὲ ACMO. — 706 τρῆχον τόντ᾽ A. — 707 ὑπέρβιον O et γρ. ὀρέσβϊον. — 709 κηφῖσίδι A. κηφισίδι CDGHN Harl. Townl. Mosc. 2. Pausanias IX, 38, 7. Et. Mg. 500, 21; 566, 21. Eustath. 1046, 13. κϊφϊσῖδϊ N. κεφησίδι M. κεφισσίδι L. κηφισσίδι E Strabo IX, 407; 408. Eust. 267, 20; 556, 17. conf. B 522. παρ D. οἱ, ἄλλοι A. — 711 τὸν δ᾽ M. — 712 omitt. D in textu. ἐνι A. — 713 προσηῦδα D. — 714 ῶ AE. — 715 ἀπέστημεν (ὑ) H. — 716 ἳλϊόν τ᾽ H. ἐκπέρσαντ᾽ (α) A. — 718 ἄγε δὲ M. — 720 ἣ μὲν C. ἐποιχομένη: ἐπειγομένη O. χρυσάμπυκας A. ἔντυεν ACDEGH 1. man. ἔντυνεν H ex corr. LMNOS. — 721 θεά: θεῶν N. — 722 ὀχέεσσι C: ὀχέεσφι ADGHLMNOS Lips. Townl. Vrat. b. A. Mosc. 1. 2. ὄχεσφι Vrat. a. — 723 ὀκτάκνημα A. — 724 libri ἤτοι. ὕπερθε ACGMNO. — 725 ἐπίσωτρα GN Lips. — 727 δῖφρος M. χρυσέοις M Et. Mg. 279, 30. χρυσέῃσι καὶ αργυρέῃσιν ἱμᾶσι D.

---

A. c. 708 ῞Υλῃ: ῞Υδῃ Zenodotus. — 725 ἔν τισι γρ. ὀπίσσωτρα διὰ τοῦ ō Schol. A. conf. Υ 394, 502.

ἐντέταται, δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰϲι.
τοῦ δ' ἐξ ἀργύρεοϲ ῥυμὸϲ πέλεν· αὐτὰρ ἐπ' ἄκρῳ
δῆϲε χρύϲειον καλὸν ζυγόν, ἐν δὲ λέπαδνα
κάλ' ἔβαλε, χρύϲει'· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
ἵππουϲ ὠκύποδαϲ, μεμαυῖ' ἔριδοϲ καὶ ἀυτῆϲ.
αὐτὰρ Ἀθηναίη, κούρη Διὸϲ αἰγιόχοιο,
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸϲ ἐπ' οὔδει,
ποικίλον, ὅν ῥ' αὐτὴ ποιήϲατο καὶ κάμε χερϲίν·
ἡ δὲ χιτῶν' ἐνδῦϲα Διὸϲ νεφεληγερέταο
τεύχεϲιν ἐϲ πόλεμον θωρήϲϲετο δακρυόεντα.
ἀμφὶ δ' ἄρ' ὤμοιϲιν βάλετ' αἰγίδα θυϲϲανόεϲϲαν,
δεινήν, ἣν πέρι μὲν πάντῃ φόβοϲ ἐϲτεφάνωται,
ἐν δ' ἔριϲ, ἐν δ' ἀλκή, ἐν δὲ κρυόεϲϲα ἰωκή,
ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου,
δεινή τε ϲμερδνή τε, Διὸϲ τέραϲ αἰγιόχοιο.
κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο τετραφάληρον,
χρυϲείην, ἑκατὸν πολίων πρυλέεϲϲ' ἀραρυῖαν.
ἐϲ δ' ὄχεα φλόγεα ποϲὶ βήϲετο, λάζετο δ' ἔγχοϲ
βριθὺ μέγα ϲτιβαρόν, τῷ δάμνηϲι ϲτίχαϲ ἀνδρῶν
ἡρώων, τοῖϲίν τε κοτέϲϲεται ὀβριμοπάτρη.

---

V. L. 728 εἰϲι AC. ἄντυγεϲ εἰϲὶ DGHL(εἰϲὶν)MO. ἄντυγεϲ ἀμφὶϲ N. — 729 ἐξαργύρεοϲ D. ἄκρῳ: αὐτῶ D. — 730 δῆϲεν D. — 731 κάλλ' M. καδδ' ἔβαλεν H. χρύϲεια D. χρύϲεα O. ἤγαγεν: ἔβαλεν M. γρ. ἤραρεν Vrat. b. in marg. — 734 ἑανὸν N. ἐπούδα M. — 735 χερϲὶ M. — 736 ἣ δὲ CD. νεφεληγερέταο A. — 737 εἰϲ E. θωρήϲετο G. — 738 ἄρ GLN. ἀρ A. ἀρ D. ὤμοιϲι DEGMO. βάλετ': βάλεν O. βάλ' Lips. αἰγίδα: ἀϲπίδα Mor. et Barocc. in marg. θυϲανόεϲϲαν E 600, 25 Lips. θυ(ϲ)ανόεϲϲαν A. — 739 περὶ CDEMN. ἐϲτεφάνωται AEHLM Harl. Vrat. c. A. Mosc. 2. 3.: ἐϲτεφάνωτο CDGNO Lips. ἐϲτεφάνωτο (αι) S. — 740 ἓν δ' ἔριϲ A. δὲ κρυόεϲϲα: δ' ὀκρυόεϲϲα G. — 744 πόλεων CDEGHLMNS Schol. Δ 308. Hesych. II, 40: πολίων O. πολί(ε)ων A. πρϋλλέεϲϲ' M. — 745 ποϲϲὶ G. βήϲατο O. — 746 τῷ: ᾧ E. δάμνηϲι CDEGLMNO: δάμνῃϲι AH. — 747 τοῖϲι GNO Lips. οἷϲιν τε L. τοῖϲιν δὲ H. δὲ O. ὀβριμοπάτρη A. ὀμβριμοπάτρη C.

---

A. c. 734, 735 asterisci. οὐ δεόντωϲ Θ 385, 386. ὁ δὲ Ζηνόδοτοϲ τούτουϲ μὲν ἀθετεῖ, ἐκείνουϲ δὲ καταλείπει Aristonicus, sed conf. Didymum, qui Θ 385 adnotavit ἠθέτει δὲ καὶ Ἀριϲτοφάνηϲ, Ζηνόδοτοϲ δὲ οὐδὲ ἔγραφεν. — 736 ἣ δὲ Herodianus cum Aristarcho: alii ἠδέ, conf. Ariston. ad O 127. — 739 πέρι Herodianus. — 744 πόλεων Herodianus ad Δ 308. — 746 δάμνηϲι Dion. Sidonius: δάμνῃϲι Aristarchus. — 746, 747 εἰϲ τὴν Ὀδύϲϲειαν (α 100, 101) μετάκεινται, itaque asterisci, conf. Schol. α 99.

Ἥρη δὲ μάcτιγι θοῶc ἐπεμαίετ᾽ ἄρ᾽ ἵππουc·
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃc ἔχον Ὧραι,
τῇc ἐπιτέτραπται μέγαc οὐρανὸc Οὔλυμπόc τε,
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφοc ἠδ᾽ ἐπιθεῖναι.
τῇ ῥα δι᾽ αὐτάων κεντρηνεκέαc ἔχον ἵππουc.
εὗρον δὲ Κρονίωνα θεῶν ἄτερ ἥμενον ἄλλων
ἀκροτάτῃ κορυφῇ πολυδειράδοc Οὐλύμποιο.
ἔνθ᾽ ἵππουc cτήcαcα θεὰ λευκώλενοc Ἥρη
Ζῆν᾽ ὕπατον Κρονίδην ἐξείρετο καὶ προcέειπε·
Ζεῦ πάτερ, οὐ νεμεcίζῃ Ἄρῃ τάδε καρτερὰ ἔργα,
ὁccάτιόν τε καὶ οἷον ἀπώλεcε λαὸν Ἀχαιῶν
μάψ, ἀτὰρ οὐ κατὰ κόcμον, ἐμοὶ δ᾽ ἄχοc· οἳ δὲ ἕκηλοι
τέρπονται Κύπρίc τε καὶ ἀργυρότοξοc Ἀπόλλων
ἄφρονα τοῦτον ἀνέντεc, ὃc οὔ τινα οἶδε θέμιcτα;
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώcεαι, αἴ κεν Ἄρηα
λυγρῶc πεπληγυῖα μάχηc ἐξ ἀποδίωμαι;
τὴν δ᾽ ἀπαμειβόμενοc προcέφη νεφεληγερέτα Ζεύc·
ἄγρει μάν οἱ ἔπορcον Ἀθηναίην ἀγελείην,
ἥ ἑ μάλιcτ᾽ εἴωθε κακῇc ὀδύνῃcι πελάζειν.

---

V. ι. 748 ἐπεμαίετ᾽ ἄρ: ἐπεμαίετο E. ἂρ DGLMNO. ἀρ A. — 749 αὐτόμαται libri cum Et. Mg. 579, 13. Cram. Epim. 281, 21. Rhet. Gr. II, 361, 10: αὐτόματοι E Rhet. Gr. II, 407, 26. Eust. 1148, 29; 1901, 4. μῦκον GM. — 750 τῆc᾽ O. ταῖc G. τῆc κ᾽ H. τῇcιν D. — 752 ῥὰ LMNO. κεντρηνεκέαc L. — 753 εὗρον δ᾽ εὐρύοπα θεῶν ἄτερ N conf. A 498. — 754 πολυδειράδοc A. ὀλύμποιο E. — 756 ἐξείρετο ADEGHMOS Cant. Barocc. Harl. Vrat. A. Mosc. 1.: ἐξήρετο CLN Lips. προcέειπε ADGHLMNO: μετέειπεν E. μετέειπε Mosc. 2. — 757 ἄρῃ ADHN ex corr. Vrat. 1. (sic) Mosc. 1. 2. ceteri ἄρει Harl. ἄρει et ἄρῃ. ὦ πάτερ οὐ νεμεcίζει ὁρῶν τάδε ἔργ᾽ ἀΐδηλα Apoll. Lex. 16, 31. κρατερὰ CDGMNO Lips. τάδ᾽ ἀΐδηλ᾽ ἔργα S. τάδε ἔργ᾽ ἀΐδηλα Cant. Harl. — 758 ὅc|||τοιόντε καὶ οἷον G post ras. ὁccάτῐόν (sic) H. — 759 κατα D. οἳ δὲ C. — 760 τὲ καὶ CN. — 762 ἠ ῥα τί μοι DGHMO. ῥὰ N. — 763 ἐξαποδίωμαι CDEGHLMNO. — 764 τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν τε LS Cant. Vrat. b. Mosc. 1. — 765 μήν οἱ G. νῦν μοι et ἀγελίην Apoll. Lex. 6, 20. — 766 κακαῖc ὀδύναιcι G.

---

A. c. 757 ἄρῃ non ἄρει hic et Φ 112, 431 cum melioribus libris est scribendum. καρτερὰ ἔργα, οὕτωc ἀρίcταρχοc, ἄλλοι δὲ τάδε ἔργ᾽ ἀΐδηλα Didymus. — 763 ἐξ ἀποδίωμαι scripsi propter caesuram bucolicam quae dicitur, conf. B 84, Δ 230, Ε 157, 332, Π 96, 252, Ρ 207, Υ 212, 221, 329, Χ 444, Ψ 477, α 247, ε 335, λ 201. — 764 ἡ διπλῆ, ὅτι ἔνιοι γράφουcι „τὴν δ᾽ αὖτε προcέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε“, unde colligi potest alteram scripturam esse Aristarcheam.

ὣϲ ἔφατ', οὐδ' ἀπίθηϲε θεὰ λευκώλενοϲ Ἥρη,
μάϲτιξεν δ' ἵππουϲ· τὼ δ' οὐκ ἀέκοντε πετέϲθην
μεϲϲηγὺϲ γαίηϲ τε καὶ οὐρανοῦ ἀϲτερόεντοϲ.
ὅϲϲον δ' ἠεροειδὲϲ ἀνὴρ ἴδεν ὀφθαλμοῖϲιν
ἥμενοϲ ἐν ϲκοπιῇ, λεύϲϲων ἐπὶ οἴνοπα πόντον,
τόϲϲον ἐπιθρῴϲκουϲι θεῶν ὑψηχέεϲ ἵπποι.
ἀλλ' ὅτε δὴ Τροίην ἷξον ποταμώ τε ῥέοντε,
ἧχι ῥοὰϲ Ϲιμόειϲ ϲυμβάλλετον ἠδὲ Ϲκάμανδροϲ,
ἔνθ' ἵππουϲ ἔϲτηϲε θεὰ λευκώλενοϲ Ἥρη
λύϲαϲ' ἐξ ὀχέων, περὶ δ' ἠέρα πουλὺν ἔχευε·
τοῖϲιν δ' ἀμβροϲίην Ϲιμόειϲ ἀνέτειλε νέμεϲθαι.
αἳ δὲ βάτην τρήρωϲι πελειάϲιν ἴθμαθ' ὁμοῖαι,
ἀνδράϲιν Ἀργείοιϲιν ἀλεξέμεναι μεμαυῖαι.
ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι πλεῖϲτοι καὶ ἄριϲτοι
ἕϲταϲαν, ἀμφὶ βίην Διομήδεοϲ ἱπποδάμοιο
εἰλόμενοι, λείουϲιν ἐοικότεϲ ὠμοφάγοιϲιν
ἢ ϲυϲὶ κάπροιϲιν, τῶν τε ϲθένοϲ οὐκ ἀλαπαδνόν,
ἔνθα ϲτᾶϲ' ἤυϲε θεὰ λευκώλενοϲ Ἥρη,
Ϲτέντορι εἰϲαμένη μεγαλήτορι, χαλκεοφώνῳ,
ὃϲ τόϲον αὐδήϲαϲχ', ὅϲον ἄλλοι πεντήκοντα·

---

V. L. 767 ὡϲ A. — 768 μάϲτιξε GNO. μάϲτιζεν Lips. ἀέκοντε GN Vrat. a. ceteri ἄκοντε, conf. 366. ἄκοντ' ἐπετέϲθην A, perperam, conf. H. U. 77 et 113. — 769 τε omitt. G. — 770 ὅϲϲόν τ' H. εἶδεν D. 1. man. (?) G. — 771 λεύϲων CG. — 772 ἐπιθρώϲκουϲι A Ambr. CDEGHLMNOS: ἔπι θρώϲκουϲι nullus. ὑψηχέεϲ A. ὑψηυχέεϲ L. ὑψαυχέεϲ G ex corr. Mosc. 1. ὑψαύχενεϲ quod ex Longino afferunt est glossema, conf. Schol. B et Et. Mg. 785, 50 ὑψηχέεϲ ἵπποι: παρὰ τὸ εἰϲ ὕψοϲ ἀναφέρειν τὸν ἦχον τῶν ποδῶν, ἢ μεγαλόφωνοι, ἢ ὑψαύχενεϲ. Suidas et Zonar. Lex. 1791. ὑψηχήϲ: ὁ ὑψαύχην. — 773 ἵξον ADLM. — 774 ἤχι CDGLMNO: ἧχι AH. Schol. Y 138. Rhet Gr. III, 101, 22; 154, 20. Io. Alexandr. 5, 25. Cram. An. Ox. III, 369, 11. Suidas I, 1, 230, 7. HIXI Ambros. ἔνθα Schol. Q ad κ 513. ϲυμβάλετον GO. κάμανδροϲ C post ras. GLM Mor. Barocc. Harl. Vrat. A. Io. Alex. 5, 25. — 776 ΛΥϹΑϹ Ambros. πολὺν DGMO. ἔχευε NO. — 777 τοῖϲι CEGL 1. man. NO Lips. ἀβροϲίην L. ἀμβροϲίηϲ D. νέμεϲθαι: νέεϲθαι M. — 778 αἳ: libri αἱ. τὼ Schol. Soph. El. 977. Oed. Colon. 1676. Eurip. Alc. 924. Zonar. Lex. 758. πελειᾶϲιν D. ὁμοῖαι: ὁμοίω Schol. Eurip. Alc. 924. — 781 ἔϲταϲαν DL. ἀμφι D. — 782 εἱλόμενοι GM. εἰλούμενοι A. λέουϲιν D. ὠμοφάγοιϲι D. — 783 κά-προιϲι CDEGMNO Lips. οὐ καλαπαδνόν A. — 785 εἰϲαμένη: εἰδομένη HS Cant. Vrat. b. εἰϲομένη L. — 786 ὃϲ: ἢ S. αὐδήϲαϲ, χ' L.

---

A. c. 774 ἧχι Aristarchus et Dionysius, conf. ad A 607. — 786 ἔν τιϲιν οὐκ ἦν ὁ ϲτίχοϲ Schol. BL. ἄλλοι δέ φαϲιν ἐν πολλοῖϲ τῶν ἀντιγράφων μὴ κεῖϲθαι τὸν ϲτίχον Eust. 607, 30.

αἰδὼϲ Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδοϲ ἀγητοί·
ὄφρα μὲν ἐϲ πόλεμον πωλέϲκετο δῖοϲ Ἀχιλλεύϲ,
οὐδέ ποτε Τρῶεϲ πρὸ πυλάων Δαρδανιάων
οἴχνεϲκον· κείνου γὰρ ἐδείδιϲαν ὄβριμον ἔγχοϲ·
νῦν δὲ ἑκὰϲ πόλιοϲ κοίληϲ ἐπὶ νηυϲὶ μάχονται.
ὣϲ εἰποῦϲ' ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου.
Τυδείδῃ δ' ἐπόρουϲε θεὰ γλαυκῶπιϲ Ἀθήνη·
εὗρε δὲ τόν γε ἄνακτα παρ' ἵπποιϲιν καὶ ὄχεϲφιν
ἕλκοϲ ἀναψύχοντα, τό μιν βάλε Πάνδαροϲ ἰῷ.
ἱδρὼϲ γάρ μιν ἔτειρεν ὑπὸ πλατέοϲ τελαμῶνοϲ
ἀϲπίδοϲ εὐκύκλου· τῷ τείρετο, κάμνε δὲ χεῖρα,
ἂν δ' ἴϲχων τελαμῶνα κελαινεφὲϲ αἷμ' ἀπομόργνυ.
ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο φώνηϲέν τε·
ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύϲ.
Τυδεύϲ τοι μικρὸϲ μὲν ἔην δέμαϲ, ἀλλὰ μαχητήϲ.
καί ῥ' ὅτε πέρ μιν ἐγὼ πολεμίζειν οὐκ εἴαϲκον
οὐδ' ἐκπαιφάϲϲειν, ὅτε τ' ἤλυθε νόϲφιν Ἀχαιῶν
ἄγγελοϲ ἐϲ Θήβαϲ πολέαϲ μετὰ Καδμείωναϲ,
δαίνυϲθαί μιν ἄνωγον ἐνὶ μεγάροιϲιν ἕκηλον·

V. l. 787 ἐλέγχεα: ἐλεγχέεϲ L. ἀγητοί: ἄριϲτοι L. — 788 ἐϲ: εἰϲ O. — 789 τρῷεϲ GL. προ A. δαρδανείων M. δαρδανίων Lips. Δαρδανιδάων Pseudoplut. 103, 33. — 790 ᾤχνεϲκον Cant. ὄμβριμον CG Barocc. — 791 δὲ ἑκὰϲ ACELMNOS Cant. Harl. Townl. Mosc. 1. 2. 3. Vrat. b. δ' ἑκὰϲ D Lips. δ' ἕκαθεν GH. κοίλαιϲ G. ἐπι A. — 792 ὡϲ A. εἰπὼν H 1. man. — 793 τυδείδην NS. — 794 τόν γε: τόντε H. τόνδε O. ἵπποιϲι DGMNO. ὄχεϲφι CO. — 797 εὐκύκλου ἢ ἀμφιβρότηϲ E 608, 33, conf. B 398, M 402, Υ 281. ἐϋκύκλου C. τείρετο LNOS: τρίβετο CDGHM
ριβ
Barocc. Harl. Vrat. b. in marg. Mosc. 1. 2. τείρετο A. τείρετο ἢ τρίβετο E 608, 34. δὲ χερϲι D. — 798 ἀν CDGL. ἄν τ' Vrat. a. ἰϲχὼν Mosc. 3. ἀϲχὼν Vrat. c. ἀπομόργνυ ACGLNO Lips. Vrat. a. b. A. Mosc. 2. ἀπεμόργνυ DEHMS. — 800 ὀλίγον οἷ AG Apoll. de Pron. 44 C; 52 B; 53 A; 103 C. Et. Mg. 616, 28; 621, 45. Et. Gud. 420, 45. Schol. Pind. Ol. I, 55; Nem. X, 147. Schol. Aristoph. Pac. 763; Av. 1635: ὀλίγον οἱ CDEHLNO Apoll. de Synt. 143, 28. Et. Gud. 425, 42. Zonar. Lex. 1441. Phot. Lex. 239. Suidas II, 1, 1080, 16; 1081, 12; II, 2, 149, 20. Schol. Pind. Ol. XI, 26. ὀλίγόν οἱ M. παῖδ' C. — 802 πολεμίζειν Eust. et Et. Mg. 658, 8 cum omnibus fere libris: πολεμιζέμεν H. — 803 ἐκπεφάϲϲειν G. ἐκπε[αι]-φάϲϲειν M. — 804 πολλέαϲ D. μετα A. — 805 ἐνι A.

A. c. 787 ἐλέγχεα: ἐλεγχέεϲ Aristarchus ut Δ 242, Ω 239; sed. conf. B 235, Ω 260. ἀγητοί et ἄριϲτοι Aristarchus, διχῶϲ. — 791 Zenodotus et Aristophanes δὲ ἑκὰϲ: δ' ἕκαθεν Aristarchus, conf. Didym. ad N 107. — 797 ἀρίϲταρχοϲ τῷ τείρετο, ἄλλοι δὲ τῷ τρίβετο Didymus.

αὐτὰρ ὃ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
κούρους Καδμείων προκαλίζετο, πάντα δ' ἐνίκα
ῥηιδίως· τοίη οἱ ἐγὼν ἐπιτάῤῥοθος ἦα.
σοὶ δ' ἦ τοι μὲν ἐγὼ παρά θ' ἵσταμαι ἠδὲ φυλάσσω,
καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι·
ἀλλά σευ ἢ κάματος πολυάιξ γυῖα δέδυκεν,
ἤ νύ σέ που δέος ἴσχει ἀκήριον· οὐ σύ γ' ἔπειτα
Τυδέος ἔκγονός ἐσσι δαΐφρονος Οἰνεΐδαο.
τὴν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·
γιγνώσκω σε θεά, θύγατερ Διὸς αἰγιόχοιο·
τῷ τοι προφρονέως ἐρέω ἔπος οὐδ' ἐπικεύσω.
οὔτέ τί με δέος ἴσχει ἀκήριον οὔτέ τις ὄκνος,
ἀλλ' ἔτι σέων μέμνημαι ἐφετμέων, ἃς ἐπέτειλας.
οὔ μ' εἴας μακάρεσσι θεοῖς ἀντικρὺ μάχεσθαι
τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃσ' ἐς πόλεμον, τήν γ' οὐτάμεν ὀξέι χαλκῷ.
τοὔνεκα νῦν αὐτός τ' ἀναχάζομαι ἠδὲ καὶ ἄλλους
Ἀργείους ἐκέλευσα ἀλήμεναι ἐνθάδε πάντας·
γιγνώσκω γὰρ Ἄρηα μάχην ἀνὰ κοιρανέοντα.
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·

---

V. L. 806 ὃ ACDGHLMNO. κρατερὸν CDGHNO Lips. τοπάρος O. τοπάρος GL post ras. N. — 807 δὲ, νίκα D. — 808 τοίη οἱ ADHLMNOS Lips. Harl. Vrat. A. οἶ Cant. τοίη τοι CE Townl. Vrat. c. Mosc. 3. τοίη δὴ G. ἐγὼ DLOS. — 809 * δ' ἦ τοι: libri δ' ἤτοι. H Lips. δὴ τοι. παρά θ': παραδ' H. — 810 καὶ σὲ G. — 811 ἀλλὰ σεῦ D. ἀλλά σε G. πολυάϊξ ACDEGHLMNO Schol. O 709. δέδοικεν C. λέλυκεν L. — 812 νύ σε που CDNO. νύ σε ποῦ GM. νυ σέ που E. ἴσχει: ἔχει G. — 813 Τυδέως E. ἔκγονος ἐσσὶ GL. ἔγγονος Vrat. b. οἰνίδαο DG. — 815 γιγνώσκω LN: γινώσκω ACDEGHMO. — 816 τῶ ACDGHL. τῷ E. τώ MNO. — 817 οὔτέ τι AMNO. οὔτέ τί CH. οὐτέ τι GL. ἴσχει: ἔχει G. οὔτέ τις ACMNO. οὐτέ τις GL. οὐδέ τις H. — 818 σέων: σῶν ACDEGHLMNOS. σὴν et ἐφετμὴν ἃς ἐπέτελλεν Schol. Z 129. — 819 θεοῖσιν DL. — 821 ἔλθῃσ': ἔλθῃ LMO Vrat. b. ἔλθῃσιν G. εἰς O. τήν γ': τὴν L. — 824 γιγνώσκω LN: γινώσκω ACDEGHMO Apoll. Lex. 30, 21. ἀνὰ A. ἄνα Apoll. Lex. 30, 21. ἀνακοιρανέοντα CDEGHLMNO.

---

A. c. 807 ὅτι Ζηνόδοτος ὑποτάσσει τούτῳ στίχον „ῥηϊδίως, τοίη οἱ ἐγὼν ἐπίταῤῥοθος ἦα“ Aristonicus. — 808 τοῦτον τὸν στίχον οὐχ εὑρῆσθαι καθόλου φασὶν ἐν ταῖς Ἀριστάρχου Didymus, conf. Δ 390, cui versui asteriscus est adpictus. — 814 ὅτι ἔνιοι „τὴν δ' αὖτε προσέειπε [βοὴν ἀγαθὸς]“ Aristonicus. — 818 Ἀρίσταρχος σέων γράφει Schol. LV. conf. Μ 424 αὐτέων, Ο 656 πρωτέων, Β 131, Ι 544 πολλέων. — 821 τήν γ': τήν, conf. ad 132. — 824 ἀνὰ, non ἄνα, Aristarchus.

Τυδείδη Διόμηδες, ἐμῷ κεχαριϲμένε θυμῷ,
μήτε ϲύ γ' Ἄρηα τό γε δείδιθι μήτέ τιν' ἄλλον
ἀθανάτων· τοίη τοι ἐγὼν ἐπιτάῤῥοθόϲ εἰμι.
ἀλλ' ἄγ' ἐπ' Ἄρηι πρώτῳ ἔχε μώνυχαϲ ἵππουϲ,
τύψον δὲ ϲχεδίην μὴ δ' ἅζεο θοῦρον Ἄρηα
τοῦτον μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόϲαλλον,
ὃϲ πρῴην μὲν ἐμοί τε καὶ Ἥρῃ ϲτεῦτ' ἀγορεύων
Τρωϲὶ μαχήϲεϲθαι, ἀτὰρ Ἀργείοιϲιν ἀρήξειν,
νῦν δὲ μετὰ Τρώεϲϲιν ὁμιλεῖ, τῶν δὲ λέλαϲται.
ὣϲ φαμένη Ϲθένελον μὲν ἀφ' ἵππων ὦϲε χαμᾶζε
χειρὶ πάλιν ἐρύϲαϲ'· ὃ δ' ἄρ' ἐμμαπέωϲ ἀπόρουϲεν.
ἡ δ' ἐϲ δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
ἐμμεμαυῖα θεά· μέγα δ' ἔβραχε φήγινοϲ ἄξων
βριθοϲύνῃ· δεινὴν γὰρ ἄγεν θεὸν ἄνδρά τ' ἄριϲτον.
λάζετο δὲ μάϲτιγα καὶ ἡνία Παλλὰϲ Ἀθήνη·
αὐτίκ' ἐπ' Ἄρηι πρώτῳ ἔχε μώνυχαϲ ἵππουϲ.
ἤ τοι ὃ μὲν Περίφαντα πελώριον ἐξενάριζεν,
Αἰτωλῶν ὄχ' ἄριϲτον, Ὀχηϲίου ἀγλαὸν υἱόν·
τὸν μὲν Ἄρηϲ ἐνάριζε μιαιφόνοϲ· αὐτὰρ Ἀθήνη

---

V. ι. 827 μή τϊ ϲύγ' M. τό γε ACDGHLN Mor. Barocc. Vrat. b. A. Mosc. 1. 2. τόνγε EO Townl. Vrat. a. τόνδε S Cant. Lips. Mosc. 3. τὸν M Harl. μήτέ τιν' ACDGHLMNO Bekk. An. 835, 23. ἄλλον: ἄλλων Cant. Vrat. a. — 828 ἐγὼ O. — 829 ἀλλά γ' H. — 830 μὴ δ' ACDGHLMNO. ἅζεο GN Lips. — 831 ἀλλοπρόϲαλλον AC. — 832 πρῴην AEG: ceteri πρώην. πρῶτον Schol. B 14, P 24. ἐμοί τε: ἔμοιγε Schol. B 12. — 833 τρωϲὶ L. μαχήϲαϲθαι HLO Vrat. A. Mosc. 3. μαχέ$^{ca}$ϲθαι G. μαχέϲαϲθαι Vrat. a. αὐτὰρ M. — 834 μετα A. λέληϲται G. — 835 ὡϲ A. καθ' ἵππων N. χαμᾶζε AE: χαμάζε CDGHLMNO. — 836 ἐρύϲαϲα D. ὃ δ' LMNO. ὅδ' CG. ἆρ GLMNO. ἀρ A. ἐμμαπέωϲ: γρ. ἐμμεμαώϲ Vrat. b. in marg. ἐπόρουϲεν N. — 837 ἤδ' CGLMNO. παρὰ OS 1. man. — 838 φήγινοϲ libri cum Apoll. Lex. 162, 9: πήδινοϲ Et. Mg. 669, 40. Hesych. III, 330. — 839 ἄγε NO Lips. ἆγε θεάν G. — 840 δὲ: δὴ G 2. man. γὰρ H. — 841 πρῶτα L. post hunc in C insertus est versus, qui legitur 846. in A ordo est 841, 846, 842—845, 847 adscripto ad vs. 846. scholio „ἐν ἄλλῳ οὗτοϲ ὁ ϲτίχοϲ μετὰ τέϲϲαραϲ ϲτίχουϲ κεῖται". — 842 ὃ μὲν C. ἐξενάριζεν AD: ἐξενάριξεν CGHLMNOS. — 844 ἐνάριζε ACHL Vrat. b. a. Townl.: ἐνάριξε D(ξεν)GNOS Cant. Lips. Harl. Vrat. a. c. ἐξενάριξε M.

---

A. c. 832 πρῴην, conf. H. U. 218. — 838 οἱ δὲ παλαιοὶ ἀντὶ τοῦ φήγινοϲ „πήδινοϲ" γράφουϲιν Eust. 613, 9. — 838, 839 ἀθετοῦνται Aristonicus. — 839 διὰ τοῦ δὲ αἱ ἀριϲτάρχου ἄνδρα δ' ἄριϲτον Didymus. — 842 ἐξενάριζεν Aristarchus: ὅτι τινὲϲ γράφουϲιν ἐξενάριξεν Aristonicus, in his Zenodotum fuisse suspicor, conf. Ariston. ad Λ 368. — 844 ἐνάριζε Aristarchus, cf. Ariston. ad 842.

δῦν' Ἄϊδοc κυνέην, μή μιν ἴδοι ὄβριμοc Ἄρηc.
ὡc δὲ ἴδε βροτολοιγὸc Ἄρηc Διομήδεα δῖον,
ἤ τοι ὃ μὲν Περίφαντα πελώριον αὐτόθ' ἔαcε
κεῖcθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν,
αὐτὰρ ὃ βῆ ῥ' ἰθὺc Διομήδεοc ἱπποδάμοιο.
οἳ δ' ὅτε δὴ cχεδὸν ἦcαν ἐπ' ἀλλήλοιcιν ἰόντεc,
πρόcθεν Ἄρηc ὠρέξαθ' ὑπὲρ ζυγὸν ἡνία θ' ἵππων
ἔγχεϊ χαλκείῳ μεμαὼc ἀπὸ θυμὸν ἑλέcθαι·
καὶ τό γε χειρὶ λαβοῦcα θεὰ γλαυκῶπιc Ἀθήνη
ὦcεν ὑπ' ἐκ δίφροιο ἐτώcιον ἀιχθῆναι.
δεύτεροc αὖθ' ὡρμᾶτο βοὴν ἀγαθὸc Διομήδηc
ἔγχεϊ χαλκείῳ· ἐπέρειcε δὲ Παλλὰc Ἀθήνη
νείατον ἐc κενεῶνα, ὅθι ζωννύcκετο μίτρην·
τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν,
ἐκ δὲ δόρυ cπάcεν αὖτιc. ὃ δ' ἔβραχε χάλκεοc Ἄρηc,
ὅccόν τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρεc ἐν πολέμῳ ἔριδα ξυνάγοντεc ἄρηοc·
τοὺc δ' ἄρ' ὑπὸ τρόμοc εἷλεν Ἀχαιούc τε Τρῶάc τε
δείcανταc· τόcον ἔβραχ' Ἄρηc ἆτοc πολέμοιο.
οἵη δ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ
καύματοc ἒξ ἀνέμοιο δυcαέοc ὀρνυμένοιο,

V. l. 845 ὄμβριμοc C. — 846 omitt. M, conf. ad 841. δὲ εἶδε D. δὲ οἶδε G Vrat. A. δ' εἶδε H ex corr. δ' εἶδε Vrat. b. — 847 ἔαcε ACGMNO. — 848 κεῖcθ' ὅθι πρῶτον μϊν NS. κεῖcθ' ὅθι μιν πρῶτον Cant. πρῶτα C. ἐξένυτο G. — 849 ὃ ACDGHLMNO. ῥὰ NS. — 850 οἶδ' CGLMNO. — 852 ἀπο ACDHL. ἑλέcθαι A Ambr. NS Cant. Harl.: ὀλέccαι CDGHLMO. γρ. ὀλέccαι A. — 853 τό γε: τότε Harl. Townl. — 854 ὑπ' ἐκ CDEGHMO. ΥΠ' ΕΚ Ambros. ὑπὲκ N. ὑπεκ G. ἀπ' ἐκ Vrat A. ὑπὲρ A. — 855 δεύτερον DS Cant. ὁρμᾶτο MN. — 856 ἐπέρ$^{\eta}$ειcε N. ἐπέρεξε Vrat. a. — 857 ζωνύcκετο DE bis LMN Lips. Vrat. c. Mosc. 2. μίτρην omnes libri cum Hesych. II, 260. — 858 τῇ ῥά μιν: ἔνθα μιν E. οὖτα G. δια AD. — 859 ἐν δὲ A. αὖθιc C. ὃδ' CLMNO. — 860 ἐννεάχιλοι AG. ἐννεάχειλοι S. γρ. ἐννεάχειλοι O. δεκάχειλοι S. γρ. δεκάχειλοι O, conf. Eust. 614, 44. — 861 cυνάγοντεc E bis. — 862 ἆρ ADGLNO. ὑπο CDHLMN. τρῷαc G. — 863 τόccον DO Mor. — 864 ἐρεβενὴ G. — 865 ἐξ EGHLMNO.

A. c. 857 Herodianus μίτρην: μίτρῃ Aristarchus. ἔν τιcι τῶν ὑπομνημάτων „ὅθι cτελλέcκετο μίτρῃ" Didymus. Homerus et accusativo (Ξ 181, Ψ 140) et dativo (Κ 77, c 67) ζώννυcθαι iungit. — 860 Aristophanes ἐννεάχιλοι: ἐννεάχειλοι et δεκάχειλοι Aristarchus, conf. Schol. V ad Ξ 148. ὅccόν τ': ὅccον δ' Aristophanes, ibidem. — 862 βαρυτονητέον τὴν ὑπό Herodianus.

τοῖος Τυδεΐδῃ Διομήδεϊ χάλκεος Ἄρης
φαίνεθ' ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.
καρπαλίμως δ' ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων,
δεῖξεν δ' ἄμβροτον αἷμα καταρρέον ἐξ ὠτειλῆς,
καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
Ζεῦ πάτερ, οὐ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;
αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμὲν
ἀλλήλων ἰότητι, χάριν ἄνδρεσσι φέροντες.
σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ τέκες ἄφρονα κούρην,
οὐλομένην, ᾗ τ' αἰὲν ἀήσυλα ἔργα μέμηλεν.
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
σοί τ' ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος·
ταύτην δ' οὔτ' ἔπεϊ προτιβάλλεαι οὔτέ τι ἔργῳ,
ἀλλ' ἀνιεῖς, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον·
ἣ νῦν Τυδέος υἱόν, ὑπερφίαλον Διομήδεα,
μαργαίνειν ἀνέηκεν ἐπ' ἀθανάτοισι θεοῖσι.
Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ,
αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος·
ἀλλά μ' ὑπήνεικαν ταχέες πόδες· ἦ τέ κε δηρὸν

---

V. L. 867 εὐρὺ D. — 868 δ' omitt. Lips. — 869 παρ D. — 870 δεῖξε CNO. καταρέον D. — 871 προσηῦδα D. — 872 κρατερὰ CGMO Lips. ἔργ' ἀΐδηλα N Cant. τάδ' ἀΐδηλ' ἔργα S. — 873 αἰεί τι H. τετληκότες N. — 874 χάριν ἄνδρεσσι EHNO Cant. Harl. Townl. Mosc. 2.: χάριν δ' ACDGLM. — 875 μαχόμεθα EMNO 1. man. — 876 μέμηλε O. — 877 γὰρ omitt. G. εἰσ' CNO. — 878 δεδμήμεθα CNO. — 879 οὔτέ τι ACEHLMNO. — 880 ἀνιεῖς Schol. Ξ 131: ἀνίεις ACDEGHLO 1. man. Lips. Et. Mg. 109, 50. ἀνίης NO 2. man. S Cant. Lips. 2. man. ἀνείης M. — 881 ὑπερφίαλον ADGL: ὑπέρθυμον CHMNOS Lips. — 882 ἀνέήκεν A. ἐπαθανάτοισι A. θεοῖσι ACDGHMNO. — 883 πρῶτα H Vrat. b. πρώτην Et. Mg. 676, 37, conf. 458. ἔπι A. — 884 αὐτῷ 'μοι (sic!) μοι G. ἴσος D. — 885 ὑπήνεγκαν LN Et. Orionis 53, 4. ἢ τὲ καὶ O. κεν G.

---

A. c. 872 καρτερὰ ἔργα: γράφεται ἔργ' ἀΐδηλα Schol. LV, conf. ad 757. — 874 χάριν ἄνδρεσσι: χάριν δ' ἄνδρεσσι Aristarchus, conf. Λ 68 ἐλαύνωσῑν ἀνδρός, Λ 371 κεκλιμένο̄ς ἀνδροκμήτῳ et ad Β 198. — 880 ἀνιεῖς, conf. μεθιεῖς Ζ 523, δ 732; μεθιεῖ Κ 121; τιθεῖ Ν 732, α 192; διδοῖς Ι 164; διδοῖ Ι 515, δ 237, ρ 350; τιθεῖν Theognis 286; συνιεῖν 1237; διδοῦν 1329. alii ἀνίεις perperam; haec enim verba apud poetas et Iones saepenumero coniugationem contractorum in ε̄ω̄ et ο̄ω̄ sequuntur, quod confirmat frequens usus formarum τιθεῖ, ξυνιεῖς, τιθεῖσι, ἱεῖσι, διδοῖ, διδοῦσιν, ἐδίδουν, ἐδίδου, ἵουν, ἵεις, ἵει, quas neque scriptores prosae orationis plane aspernantur. — 881 Aristarchus ὑπερφίαλον: ὕπερθυμον αἱ δημώδεις.

αὐτοῦ πήματ' ἔπαϲχον ἐν αἰνῇϲιν νεκάδεϲϲιν,
ἤ κε ζὼϲ ἀμενηνὸϲ ἔα χαλκοῖο τυπῇϲι.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προϲέφη νεφεληγερέτα Ζεύϲ·
μή τί μοι ἀλλοπρόϲαλλε παρεζόμενοϲ μινύριζε.
ἔχθιϲτοϲ δέ μοί ἐϲϲι θεῶν, οἳ Ὄλυμπον ἔχουϲιν·
αἰεὶ γάρ τοι ἔριϲ τε φίλη πόλεμοί τε μάχαι τε.
μητρόϲ τοι μένοϲ ἐϲτὶν ἀάϲχετον, οὐκ ἐπιεικτόν,
Ἥρηϲ· τὴν μὲν ἐγὼ ϲπουδῇ δάμνημ' ἐπέεϲϲι.
τῶ ϲ' ὀίω κείνηϲ τάδε πάϲχειν ἐννεϲίῃϲιν.
ἀλλ' οὐ μάν' ϲ' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα·
ἐκ γὰρ ἐμεῦ γένοϲ ἐϲϲί, ἐμοὶ δέ ϲε γείνατο μήτηρ.
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ' ἀίδηλοϲ,
καί κεν δὴ πάλαι ἦϲθα ἐνέρτεροϲ Οὐρανιώνων.
ὣϲ φάτο, καὶ Παιήον' ἀνώγειν ἰήϲαϲθαι.
τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάϲϲεν

V. l. 886 αἰνῇϲι CMNO Et. Mg. 600, 10. αἰναῖϲι G. — 887 ἤ: εἴ H sup. 'NO. ἦ Schol. Π 445. Bekk. An. 1202. ἠ Cram. An. Par. IV, 232, 33. κε Et. Gud. 236, 30. Schol. Π 445. Cram. An. Par. IV, 232, 33. κεν ACDEGHLMNOS Lips. Apoll. Lex. 27, 5. Et. Mg. 306, 52. Schol. Θ 111. Bekk. An. 1202. Cram. An. Ox. IV, 359, 11; 363, 30. χαλκιοτυπαῖϲι G. τυπῇϲι ACDHO. — 888 ἂρ DGMNO. ἀρ A. νεφεληγερέτα A. — 889 μήτϊ μοι CLMNO. ἀλλοπρόϲαλλε A. — 890 δέ μοι ἐϲϲὶ ACDEGHLMNO. — 891 τοι: τιϲ N. τοι omitt. HL. — 892 ἐϲτὶν: αἰὲν Et. Mg. 1, 30. — 893 ἐπέεϲϲι ACGNO Et. Mg. 247, 8. — 894 τῶ ACDGHLMO. οἴω DH. ἐννεϲίῃϲι H. — 895 μάν: μέν Vrat. b. — 896 ἐμοὶ (η supra) S. ἐϲϲί: ἐϲϲὶν MO. ϲ' ἐγείνατο HM. — 897 γε omitt. CL. ἄλλου (οιο supra) C (οιο man. rec.). τε θεῶν γίνευ H. — 898 ἦϲθα: ἦϲθαϲ ADO 1. man. S. νέρτεροϲ Townl. Lips. — 899 ὡϲ A. ἀνώγειν AC Townl.: ἀνώγει GHLMNOS. ἀνῶγεν D. ἄνωγεν ὃ καὶ ἀνώγει γράφεται Eust. 619, 21. — 900 ἐπϊ C. ὀδυνήφατα A. πάϲϲεν ACDHL Lips. Mosc. 1. φάρμακ' ἔπαϲϲεν Harl.: πάϲϲων EGMNOS Vrat. A.

A. c. 887 ζὼϲ Herodianus: ζῶϲ Ptolemaeus Ascalonita, conf. Et. Mg. 413, 30. Eust. 618, 10. τὸ ἤ κεν γράφεται μὲν διὰ τοῦ η παρὰ τοῖϲ ἀκριβεϲτέροιϲ Eust. 618, 6. — 891 asteriscus; κακῶϲ Δ 177. — 898 ἐνέρτεροϲ: ἐνέρτατοϲ Zenodotus. de forma ἦϲθαϲ conf. Eust. 1773, 30 Αἴλιοϲ Διονύϲιοϲ γράφει ὅτι καὶ τὸ οἶϲθα καὶ τὸ οἶϲθαϲ ἄμφω Ἑλληνικά, καθὰ καὶ ἦϲθα καὶ ἦϲθαϲ. hoc Nauckius Euripidi tribuit, quem Helen. 587. ἐνθάδ' ἦϲθαϲ ἐν Τροίᾳ scripsisse coniecit, conf. Ion. 999 οἶϲθαϲ, qua forma usus est Alexis comicus apud Athen. III, 118, a. — 900 ἰακῶϲ φάρμακα πάϲϲεν Schol. A, quod si est Didymi, Aristarchus sequentem versum omisit.

[ἠκέϲατ᾽· οὐ μὲν γάρ τι καταθνητός γ᾽ ἐτέτυκτο].
ὡϲ δ᾽ ὅτ᾽ ὀπὸϲ γάλα λευκὸν ἐπειγόμενοϲ ϲυνέπηξεν
ὑγρὸν ἐόν, μάλα δ᾽ ὦκα περιτρέφεται κυκόωντι,
ὣϲ ἄρα καρπαλίμωϲ ἰήϲατο θοῦρον Ἄρηα.
τὸν δ᾽ Ἥβη λοῦϲεν, χαρίεντα δὲ εἵματα ἕϲϲε·
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων.
αἳ δ᾽ αὖτιϲ πρὸϲ δῶμα Διὸϲ μεγάλοιο νέοντο
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενηῒϲ Ἀθήνη,
παύϲαϲαι βροτολοιγὸν Ἄρην ἀνδροκταϲιάων.

---

## ΙΛΙΑΔΟϹ Ζ.

Τρώων δ᾽ οἰώθη καὶ Ἀχαιῶν φύλοπιϲ αἰνή·
πολλὰ δ᾽ ἄρ᾽ ἔνθα καὶ ἔνθ᾽ ἴθυϲε μάχη πεδίοιο,
ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα,
μεϲϲηγὺϲ Ϲιμόεντοϲ ἰδὲ Ξάνθοιο ῥοάων.

---

V. L. 901 omitt. CDL Townl. in textu, Lips. Vrat. A. Mosc. 1. ἐν ἄλλῳ ὁ ϲτίχοϲ οὐχ εὕρηται A in margine. γρ. φάρμακα πάϲϲων ἠκέϲατ᾽, οὐ μὲν γάρ τι κατὰ θνητόϲ γε τέτυκτο C in margine. κατὰ θνητόϲ MO. κατὰ θνητὸν Vrat. b. κατὰ θνητοὺϲ Vrat. a. γε τέτυκτο S Cant. — 902 ἐπειγόμενον DGS Mor. Townl. man. sec. Mosc. 1. 2. — 903 περιτρέφεται Cram. An. Par. III, 215, 20. Apoll. Lex. 130, 14. Eust. 1339, 19. Schol. Ξ 308: libri περιϲτρέφεται. — 904 ὡϲ A. — 905 τόνδε G. λοῦϲε GNO Lips. χαρίεντά τε HS Vrat. a. εἵματα ἕϲϲεν D. ἕϲϲε AMNO. — 906 παρ CD. — 907 αἳ δ᾽ DMNO. αἶδ᾽ CGL. αἷδ᾽ H. — 909 παύϲαϲθαι Mosc. 1. βροτολοιγὸν A. ἄρην ACDEGHLMNO. ἄρη᾽ Cant. ἄρηα S.

---

A. c. 903 περιτρέφεται Herodianus apud Eust. 620, 14 et Cram. An. Par. III, 215, 14. conf. ι 246, ξ 477, ubi sex libri περιϲτρέφετο pro περιτρέφετο exhibent. — 906 asteriscus (cum obelo, qui deest in codice): ὀρθῶϲ A 405, ubi vide Aristonicum. τὸ ἔποϲ Ζηνόδοτοϲ ἀθετεῖ Schol. B. Ἀρίϲταρχοϲ ἀθετεῖ Schol. LV. — 909 Ἄρην Herodianus, conf. ad 757. sed haud scio an Ἄρη praeferendum sit, quod propter hiatum, qui h. l. est nullus (conf. ad B 198) in Ἄρην mutatum videtur esse.

---

V. L. 1 τρώων L. — 2 δ᾽ ἄρ᾽: δ᾽ ἂρ DGMNO. δ᾽ ἀρ A. γὰρ H. δὲ E. ἔνθα ἴθυϲε DMNOS Schol. Θ 106. — 3 ἰθυνόντων S. — 4 ἰδὲ: ἠδὲ GN.

---

A. c. 4 ἐν τοῖϲ ἀρχαίοιϲ (i. e. in exemplaribus prioris editionis Aristarcheae. τοῖϲ Ἀριϲταρχείοιϲ Lehrsius. ἐν τῇ προτέρᾳ τῶν Ἀριϲταρχείων Bekkerus) ἐγέγραπτο „μεϲϲηγὺϲ ποταμοῖο Ϲκαμάνδρου καὶ ϲτομαλίμνηϲ.“ διὸ καὶ ἐν τοῖϲ ὑπομνήμαϲι φέρεται. καὶ ὕϲτερον δὲ περιπεϲὼν (sc. Ἀρίϲταρχοϲ) ἔγραψε „μεϲϲηγὺϲ Ϲιμόεντοϲ ἰδὲ Ξάνθοιο ῥοάων“ Aristonicus. Χάρηϲ (Χαῖριϲ) δὲ γράφει μεϲϲηγὺϲ ποταμοῖο Ϲκαμάνδρου καὶ Ϲιμόεντοϲ Schol. BLV, conf. H. T. 81, n. 147.